CALIFORNIA BAPTIST
THEOLOGICAL SEMINARY
Los Angeles, California

Presented by Purchase - Theissen

Class. No. 488.7 Book No. E14

Acc. No. 4007 Date 9-1-47

H. C. Thiessen

Digitized by the Internet Archive
in 2024

https://archive.org/details/extractsfromvari0000vari

EXTRACTS

FROM

VARIOUS GREEK AUTHORS.

EXTRACTS

FROM

VARIOUS

GREEK AUTHORS,

WITH

NOTES AND A LEXICON.

FOR THE USE OF THE

JUNIOR GREEK CLASS

IN THE

UNIVERSITY OF GLASGOW.

IN TWO PARTS.

GLASGOW:
JAMES CAMERON, PORTERFIELD.
Sold by the Author.
T. HAMILTON, 25 PATERNOSTER ROW, LONDON;
SUNDAY & BLACKIE, OXFORD; DEIGHTON & SONS, CAMBRIDGE; JOHNSTON & ANTHONY, DUBLIN; H. ROBERTS, EDINBURGH; OLIVER & BOYD, ADAM BLACK, EDINBURGH; C. BROWN AND CO. ABERDEEN; AND DESCOTT, ST. ANDREWS.

M.DCCC.XXIII.

880.86
Ga56ee

EXTRACTS

FROM

VARIOUS

GREEK AUTHORS,

WITH

NOTES AND A LEXICON.

FOR THE USE OF THE

JUNIOR GREEK CLASS

IN THE

UNIVERSITY OF GLASGOW.

IN TWO PARTS.

GLASGOW:
JAMES CAMERON, BOOKSELLER,
Opposite the College.
T. HAMILTON, 33, PATERNOSTER ROW, LONDON;
MUNDAY & SLATTER, OXFORD; DEIGHTON & SONS, CAMBRIDGE; HODGES AND M'ARTHUR, DUBLIN; H. GREER, BELFAST; OLIVER & BOYD, AND ADAM BLACK, EDINBURGH; A. BROWN AND CO. ABERDEEN; AND G. SCOTT, ST. ANDREWS.

M.DCCC.XXIII.

4007

THE MASTER'S COLLEGE
POWELL LIBRARY
SANTA CLARITA, CA 91321

488.7
E96

PREFACE.

THE Selections in this volume are divided into two Parts, in order to meet the different degrees of proficiency in the knowledge of Greek, with which Students enter the Junior Class of the University of Glasgow. For those who have been instructed merely in the rudiments, or who come entirely unprepared, the perusal of the First Part will succeed immediately to the study of the Grammar. The Second Part, comprising EXTRACTS of greater length, and more difficult in style and dialect, is intended for those who have been previously accustomed to reading and translation, though not sufficiently advanced to take up the business of the Senior Class.

THE First Part will furnish an easy exercise in common inflections, and the simplest rules of Greek Syntax. The EXTRACTS in the Second Part have been so arranged, as far as the comparative difficulty of the several authors would permit, as not only to exhibit the varieties of the three principal dialects, but also to show the bearings of the Doric and Ionic on the Attic—the staple dialect of Grecian literature. The Extract from HOMER, however, is the last submitted to perusal in the *Junior*, because HOMER is uniformly the first author examined and expounded in the *Senior* Class, in which a minuter investigation and a fuller development of the history and principles of the Greek language, become the objects of attention.

THE NOTES attached to each Part are simple, and designed to assist, without superseding, the exertions of the Student. In writing these, as well as in the choice of EXTRACTS, the well-known compilations of Professors DALZEL and DUNBAR have been occa-

sionally consulted. To print them in English, and at the bottom of the page, seemed the best mode of securing the attention of youthful readers to explanations, which are supplied only in such places and measure, as regard to their real advantage pointed out. All needless display of erudition has been avoided, as incompatible with a work, of which the proposed ends are brevity, cheapness, and practical utility.

The Lexicon has been prepared with great attention, and will preclude the necessity of any other, for the study of these Extracts.

It is hoped that those instructors who are in the habit of educating youths for the Junior Greek Class, will find the First Part of the volume proper and sufficient for a Text-book. A thorough knowledge of this Part will fully enable their pupils, on entering the University, to join the higher division of the Junior Class in the study of the Second Part.

For the merits or defects of this little Work, with reference to its objects, the Professor of Greek is of course finally responsible. But he cannot omit this opportunity of bearing testimony to the talents and industry of Mr. Hugh Lockhart, A. M. in this University, and Author of an ingenious Treatise on *Greek Idioms*, to whom the chief labour was assigned. He is the compiler of the Lexicon, and prepared for revision the Notes, which seldom required either alteration or enlargement.

College of Glasgow,
Oct. 10, 1823.

INDEX

EXCERPTORUM GRÆCORUM.

PARS PRIMA.

I. EX ÆSOPI FABULIS. 1

II. EX HIEROCLIS FACETIIS. 8

III. E NOVO TESTAMENTO. 12

IV. EX ANACREONTIS CARMINIBUS.

1. In Lyram, ... 21
2. In Fœminas, ... 22
3. In Amorem, ... id.
4. In Seipsum, ... 24
5. In Rosam, ... 25
6. In Columbam, ... 26
7. In Seipsum, ... 28
8. In Amorem, ... id.
9. In Amicam suam, ... 29
10. In Ver, ... 31
11. In Amorem, ... 32
12. Ad Cicadam, ... id.
13. In Amorem, ... 33
14. In Senem, ... 34

V. E TYRTÆI ELEGIIS. 35

VI. E LUCIANI DIALOGIS.

DEORUM DIALOGI.

1. Jupiter, Mercurius, ... 39
2. Iris, Neptunus, ... 40
3. Xanthus, Oceanus, ... 41
4. Vulcanus, Jupiter, ... 42
5. Jupiter, Æsculapius, Hercules, ... 44
6. Mars, Mercurius, ... 45
7. Menelaus, Proteus, ... 46
8. Apollo, Mercurius, ... 48
9. Mercurius, Maia, ... 49

MORTUORUM DIALOGI.

1. Cnemon, Damippus, ... 51
2. Menippus, Mercurius, ... 52
3. Charon, Menippus, Mercurius, ... 53
4. Crœsus, Pluto, Menippus, Midas, Sardanapalus, ... 55
5. Zenophantes, Callidemides, ... 56
6. Pluto, Protesilaus, Proserpina, ... 58
7. Menippus, Tantalus, ... 59
8. Æacus, Protesilaus, Menelaus, Paris, ... 61
9. Diogenes, Alexander, ... 62
10. Mercurius, Charon, ... 65

PARS SECUNDA.

I. E TYRTÆI ELEGIIS. 67

II. EX HERODOTO.

E LIBRO PRIMO.

Arion, ... 71
Crœsus et Solon, ... 73
Atys et Adrastus, ... 75
Pisistratus, ... 82
Cyrus, ... 85

E LIBRO SECUNDO.

Psammetichus, ... 90
Crocodilus, ... 91

E LIBRO SEXTO.

Prœlium Marathonium, ... 93

E LIBRO SEPTIMO.

Artabanus et Xerxes, ... 97
Xerxes et Artabanus in Abydo, ... 102

III. E THEOCRITO. 108

IV. E LUCIANO.

Vitarum Auctio, ... 123

V. E XENOPHONTIS CYROPÆDIA.

E LIBRO PRIMO. 142
E LIBRO QUINTO. 157
E LIBRO SEXTO. 159
E LIBRO SEPTIMO. 167

VI EX HOMERI ILIADE.

E LIBRO SEXTO.

Glaucus et Diomedes, ... 173
Hector et Andromache, ... 178

PARS PRIMA.

I.

EX ÆSOPI FABULIS.

ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

α΄. [1] ΚΟΧΛΙΑΙ.

Γεωργου παῖς [2] ὤπτα κοχλίας· [3] ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη· ὦ κάκιστα ζῶα, [4] τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, [5] αὐτοὶ ᾄδετε;

β΄. ΊΠΠΟΣ καὶ ΊΠΠΟΚΟΜΟΣ.

Κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν, τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας· ἔφη καὶ ὁ ἵππος· εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν [6] τρέφουσαν μὴ [7] πώλει.

---

1 κοχλίαι. Greek writers, in titles of this kind, do not use the article.

2 ὤπτα, contracted for ὤπταε. *Vide* ὀπτάω.

3 ἀκούσας δὲ αὐτῶν. Verbs of sense, excepting sight, usually govern the genitive.

4 τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, "while your houses are burning:" the genitive absolute.

5 αὐτοὶ ᾄδετε, "are yourselves singing?"

6 τρέφουσαν, supply ἐμὲ, "nourishing, i. e. that nourishes, me."

7 πώλει, contracted for πώλεε,

γ'. ΓΕΩΡΓΟΣ καὶ ΟΦΙΣ.

Γεωργὸς [1] χειμῶνος ὥραν, ὄφιν εὑρὼν [2] ὑπὸ κρύους πεπηγότα, τοῦτον λαβὼν [3] ὑπὸ κόλπου κατέθετο· θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληγε τὸν εὐεργέτην.

δ'. ΟΡΝΙΣ καὶ ΧΕΛΙΔΩΝ.

Ὄρνις ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε· χελιδὼν δὲ θεασαμένη αὐτὴν, ἔφη· ὦ ματαία, [4] τί ταῦτα τρέφεις, [5] ἅπερ αὐξηθέντα [6] ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;

ε'. ΜΥΙΑ.

Μυῖα ἐμπεσοῦσα εἰς χύτραν κρέατος, ἐπειδὴ ὑποπνίγεσθαι ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· ἀλλ' ἔγωγε καὶ [7] βέβρωκα, καὶ πέπωκα, καὶ λέλουμαι, [8] κἂν ἀποθάνω οὐδὲν μέλει μοι.

στ'. ΗΜΙΟΝΟΣ.

Ἡμίονος ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε [9] βοῶν καὶ

---

1 χειμῶνος (sup. κατὰ) ὥραν, "in the season of winter."

2 ὑπὸ κρύους πεπηγότα, "stiffened by cold." *Vide* πηγνύω.

3 ὑπὸ κόλπου, "under his bosom; i.e. under that which covered his bosom."

4 τί, sup. διὰ, *quid?* "why?"

5 ἅπερ—ἄρξεται. The neuter plural is joined with a verb singular.

6 ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν (i. e. τῆς ἀδικίας) ἄρξεται, "from (or, at) you first will commence being injurious." The article, in all its cases, is often put with the infinitive, which is then construed like a substantive.

7 βέβρωκα, καὶ πέπωκα. *Vide* βρώσκω and πίνω.

8 κἂν for καὶ ἐὰν or ἂν; ἀποθάνω from ἀποθνήσκω.

9 βοῶν, contracted for βοάων. *Vide* βοάω.

λεγὼν· πατήρ μου ἐστὶν ἵππος ὁ ταχυδρόμος, [1] κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην· καί ποτε [2] ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, [3] τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.

ζ'. ΑΛΩΠΗΞ καὶ ΒΟΤΡΥΣ.

Βοτρύας πεπείρους ἀλώπηξ κρεμαμένους ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφαγεῖν· [4] πολλὰ δὲ καμοῦσα, καὶ μὴ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη, ἔλεγεν, ὄμφακες ἔτι εἰσίν.

η'. ΑΛΩΠΗΞ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην· ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη· ὦ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει!

θ'. ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη τῇ μητρὶ, μῆτερ, εὔχου τῷ θεῷ, καὶ μὴ θρήνει· [5] ἡ δ' ὑπολαβοῦσα ἔφη, τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; [6] τίνος γὰρ κρέας ὑπό σού γε οὐκ ἐκλάπη;

---

1 κἀγὼ (for καὶ ἐγὼ) αὐτῷ ὅλος ἀφωμοιώθην, "and I was made altogether like him."

2 ἀνάγκης ἐπελθούσης τρέχειν, "a necessity to run (i. e. of running) having come upon him."

3 τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη, "he was straightway reminded of his father's being an ass."

4 πολλὰ δὲ καμοῦσα, "and having laboured much;" πολλὰ being used adverbially.

5 ἡ δὲ, "but she." The article is often put for the dem. pron. οὗτος, ἐκεῖνος.

6 τίνος γὰρ κρέας ὑπό σού γε οὐκ ἐκλάπη, "for of what god has not the flesh (i. e. the victims) been stolen by thee?" ἐκλάπη, 2 aor. pass. from κλέπτω.

ι΄. ΚΥΩΝ ΚΡΕΑΣ ΦΕΡΩΝ.

Κύων κρέας φέρων ποταμὸν διέβαινε· θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν ἐπὶ τοῦ ὕδατος, ὑπέλαβεν ἕτερον κύνα εἶναι κρέας κατέχοντα· καὶ ἀφεὶς τὸ ἴδιον, [1] ὥρμησε τὸ ἐκείνου λαβεῖν· ἀπώλεσε δὲ ἀμφότερα· [2] τὸ μὲν οὖν οὔκ ἦν· ὃ δὲ κατεῖχεν ὑπὸ τοῦ ῥεύματος κατεσύρετο.

ια΄. ΤΑΩΣ καὶ ΚΟΛΟΙΟΣ.

[3] Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταῶς [4] ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν· [5] αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη· ἀλλ' εἰ, [6] σοῦ βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

ιβ΄. [7] ΚΥΝΕΣ ΛΙΜΩΤΤΟΥΣΑΙ.

Κύνες λιμώττουσαι ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι, συνέθεντο ἀλλήλοις ὅπως πρῶτον τὸ ὕδωρ ἐκπίωσιν, καὶ [8] εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγένωνται· [9] συνέβη δὲ αὐταῖς πιούσαις πρὶν διαραγῆναι, ἢ τῶν βυρσῶν ἐφικέσθαι.

---

1 ὥρμησε τὸ ἐκείνου λαβεῖν, "he made an effort to seize the (flesh) of that dog."

2 τὸ μὲν, "the one."

3 τῶν ὀρνίθων, the gen. abs.

4 ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν, "deemed himself a worthy bird for them to choose on account of his beauty."

5 αἱρουμένων, the gen. abs.

6 σοῦ βασιλεύοντος, the gen. abs.

7 κύνες λιμώττουσαι. Greek writers, speaking of dogs or horses, often use the feminine gender.

8 εἶθ' for εἶτα. A final vowel is cut off before a succeeding initial vowel; and if this last has the aspirate, it lends it to the preceding consonant.

9 συνέβη δὲ αὐταῖς πιούσαις πρὶν διαραγῆναι, ἢ τῶν βυρσῶν ἐφικέσθαι, "it befel them drinking to burst themselves before they came (sooner than to come) to the hides;" πρὶν ἢ, *prius quam.*

ιγ'. ΙΠΠΟΣ καὶ ΕΛΑΦΟΣ.

Ἵππος κατεῖχε λειμῶνα μόνος· [1] ἐλθόντος δ' ἔλαφου καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον· ὁ δ' ἔφησεν, ἐὰν [2] λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν, ἔχων ἀκόντια· [3] συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ.

ιδ'. ΤΕΤΤΙΞ καὶ ΜΥΡΜΗΚΕΣ.

Χειμῶνος ὥρᾳ, τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ἤτει αὐτοὺς τροφήν· οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· διατί [4] τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν, οὐκ ἐσχόλαζον, ἀλλ' ἥδον μουσικῶς· οἱ δὲ γελάσαντες εἶπον, ἀλλ' [5] εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

ιε'. ΓΕΡΩΝ καὶ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα ταμὼν ἐξ ὄρους, [6] κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ [7] πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο· τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν

---

1 ἐλθόντος δ' ἔλαφου καὶ διαφθείροντος, "when a stag had come and was spoiling:" the genitive absolute.

2 λάβῃ, sup. ἵππος.

3 συνομολογήσαντος δὲ (sup. τοῦ ἵππου), καὶ ἀναβάντος (sup. τοῦ ἀνθρωπου).

4 τὸ θέρος, sup. ἀνὰ, "during the summer."

5 εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ, "if you piped in the hours of summer, dance in those of winter."

6 κἀπὶ for καὶ ἐπὶ.

7 πολλὴν ὁδὸν, "a great way."

αἰτίαν πυνθανομένου δὶ ἣν αὐτὸν [1] καλοίη, ὁ γέρων ἔφη, [2] ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.

ιστ'. ΚΥΩΝ καὶ ΔΕΣΠΟΤΗΣ.

Ἔχων τις κύνα Μελιταῖον καὶ ὄνον, [3] διετέλει τῷ κυνὶ προσπαίζων· καὶ εἴποτε ἔξω δεῖπνον εἶχεν, ἐκόμιζέ τι αὐτῷ καὶ [4] προσίοντι παρέβαλεν· ὁ δὲ ὄνος ζηλώσας, προέδραμεν αὐτὸς καὶ σκιρτῶν ἐλάκτισε τὸν δεσπότην· καὶ οὗτος ἀγανακτήσας ἐκέλευσε [5] παίοντα αὐτὸν ἀναγαγεῖν πρὸς τὸν μυλῶνα, καὶ τοῦτον δῆσαι.

ιζ'. ΑΛΕΚΤΟΡΕΣ

Αλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο· καὶ [6] ὁ μὲν ἡττηθεὶς, εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη· ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς, καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς, μεγαλοφώνως ἐβόησε· καὶ παρευθὺς ἀετὸς καταπτὰς, ἥρπασεν αὐτόν· ὁ δ' ἐν σκότῳ κεκρυμμένος, ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινεν.

ιη'. ΕΧΙΣ καὶ 'ΡΙΝΗ.

Ἔχις εἰσελθὼν εἰς χαλκουργοῦ ἐργαστήριον, ἐκ τῶν σκευῶν τῶν [7] ὄντων, ἐζήτει φαγεῖν· ἧκεν οὖν πρὸς την ρί-

---

1 καλοίη, Att. opt. for καλέοι, or contr. καλοῖ.

2 ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι, "that, having lifted this burden, you may put it upon me."

3 διετέλει τῷ κυνὶ προσπαίζων, "continued (i.e. was continually) playing with the dog."

4 προσίοντι, "to him coming near."

5 παίοντα, sup. τινα, "one, striking him, (i. e. to strike him and) to lead him away." When the participle has no subject, either the article or τις is defective.

6 ὁ μὲν—ὁ δὲ, "the one—the other."

7 ὄντων, sup. ἐκεῖ.

νην· καὶ αὐτὴν παρεκάλει δοῦναι αὐτῷ τι· ἡ δὲ [1] ὑποτυχοῦσα εἶπεν· ἀλλ' εὐήθης εἶ [2] παρ' ἐμοῦ τι ἀποίσεσθαι οἰόμενος, ἥτις οὐ διδόναι, ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα.

ιθ'. ΛΥΚΟΣ καὶ ΓΕΡΑΝΟΣ.

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει· ὁ δὲ γεράνῳ μισθὸν [3] παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι· ἡ δε τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει· ὅστις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, [4] ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες κάρην σῶαν, [5] μηδὲν παθοῦσαν.

---

1 ὑποτυχοῦσα, *vide* ὑποτυγχάνω.

2 παρ' ἐμοῦ τι ἀποίσεσθαι οἰόμενος, "thinking (or, if you think) to carry away any thing from me."

3 παρέξειν εἶπεν, "said that he would give." The reciprocal pronouns are usually omitted before the infinitive.

4 ἀρκεῖ. Construe, καὶ τοῦτο μόνον ἀρκεῖ μισθός σοι, "even this alone is sufficient as a reward for thee."

5 μηδὲν παθοῦσαν, "having suffered nothing."

II.

EX HIEROCLIS FACETIIS.

ἸΕΡΟΚΛΟΥΣ ΑΣΤΕΙΑ.

α΄. ΣΧΟΛΑΣΤΙΚΟΣ κολυμβᾶν βουλόμενος, παρὰ μικρὸν ἐπνίγη. ὤμοσεν οὖν μὴ ἅψασθαι ὕδατος,[2] ἐὰν μὴ πρῶτον μάθῃ κολυμβᾶν.

β΄. Σχολαστικὸς φίλῳ συναντήσας εἶπε, καθ' ὕπνους σε ἰδὼν προσηγόρευσα· [3]Ὁ δὲ, σύγγνωθί μοι, ὅτι οὐ προσέσχον.

γ΄. Σχολαστικὸς ἰατρῷ συναντήσας, συγχώρησόν μοι, εἶπε, καὶ μή μοι μέμψῃ ὅτι οὐκ ἐνόσησα.

δ΄· Σχολαστικὸς θέλων τὸν ἵππον αὐτοῦ διδάξαι μὴ τρώγειν πολλὰ, οὐ παρέβαλεν αὐτῷ τροφάς. Ἀποθανόντος δὲ τοῦ ἵππου τῷ λιμῷ, ἔλεγε· [4] Μέγα ἐζημιώθην· ὅτε γὰρ ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανε.

---

1 παρὰ μικρὸν ἐπνίγη, "was suffocated except (i. e. all but) a little; was within a little of being suffocated." *Vide* παρα.

2 ἐὰν μὴ, *nisi.*

3 ὁ δὲ, sup. εἶπε.

4 μέγα ἐζημιώθην, "I sustained a great loss."

ε΄. Σχολαστικὸς οἰκίαν πωλῶν, λίθον ἀπ' αὐτῆς [1] εἰς δεῖγμα περιέφερε.

στ΄. Σχολαστικὸς θέλων εἰδέναι, [2] εἰ πρέπει αὐτῷ κοιμᾶσθαι, καμμύσας ἐσοπτρίζετο.

ζ΄. Σχολαστικὸς ἀμιναῖαν ἔχων, ἐσφράγισεν αὐτήν. Τοῦ δὲ δούλου κάτωθεν τρήσαντος, καὶ τὸν οἶνον αἴροντος, ἐθαύμαζεν ὅτι, τῶν σημάντρων σώων ὄντων, ὁ οἶνος ἐλαττοῦτο· ἕτερος εἶπεν, [3] ὅρα, μὴ κάτωθεν ἀφῃρέθη. Ὁ δὲ, ἀμαθέστατε, εἶπεν, [4] οὐ τὸ κάτωθεν λείπει, ἀλλὰ τὸ ἀνώθεν μέρος.

η΄. Σχολαστικὸς ἰδὼν στρουθία ἐπὶ δένδρου, λάθρα ὑπεισελθὼν ὑφαπλώσατο τὸν κόλπον, καὶ ἔσειε τὸ δένδρον, [5] ὡς ὑποδεξόμενος τὰ στρουθία.

θ΄. Σχολαστικὸς σχολαστικῷ συναντήσας εἶπεν, ἔμαθον ὅτι ἀπέθανες. κἀκεῖνος, ἀλλ' ὁρᾷς με ἔτι, ἔφη, ζῶντα· καὶ ὁ [6] σχολαστικὸς, καὶ μὴν [7] ὁ εἰπών μοι πολλῷ σου ἀξιοπιστότερος ὑπάρχει.

ι΄. Σχολαστικὸς μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῇ, ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφε.

ια΄. Σχολαστικὸς [8] εἰς χειμῶνα ναυαγῶν, καὶ

---

1 εἰς δεῖγμα, "for a sample."

2 εἰ πρέπει αὐτῷ κοιμᾶσθαι, "if it fits him well to sleep; if he looks well when asleep."

3 ὅρα, μὴ κάτωθεν ἀφῃρέθη, "look whether it has been taken away from below:" *vide* μή. The indic. is often put like a subj. after ἵνα, ὡς, ὅπως, μή.

4 οὐ τὸ κάτωθεν (sup. μέρος) λείπει, "it is not the under part that fails."

5 ὡς ὑποδεξόμενος, "as if he was about to receive or catch."

6 σχολαστικὸς, sup. ἔφη.

7 ὁ εἰπών μοι, "the person that told me." The part. with the art. has the sense *is qui.*

8 εἰς χειμῶνα, "in a storm." *Vide* εἰς.

[1] τῶν συμπλεόντων ἑκάστου περιπλεκομένων σκεύους πρὸς τὸ σωθῆναι, ἐκεῖνος μίαν τῶν ἀγκυρῶν περιεπλέξατο.

ιβ'. Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε. Σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι ἠρώτα, σὺ ἀπέθανες, ἢ ὁ ἀδελφός σου;

ιγ'. Σχολαστικὸς, ναυαγεῖν μέλλων, πινακίδας ᾔτει, ἵνα διαθήκας γράφῃ· τοὺς δὲ οἰκέτας ὁρῶν ἀλγοῦντας [2] διὰ τοῦ κινδύνου, ἔφη, μὴ λυπεῖσθε, ἐλευθερῶ γὰρ ὑμᾶς.

ιδ'. Σχολαστικὸς ποταμὸν βουλόμενος περάσαι, ἀνῆλθεν ἐς τὸ πλοῖον ἔφιππος· πυθομένου δέ τινος τὴν αἰτίαν, [3] ἔφη σπουδάζειν.

ιε'. Σχολαστικὸς [4] ἀπορῶν δαπανημάτων, τὰ βιβλία αὐτοῦ ἐπίπρασκε, καὶ, γράφων πρὸς τὸν πατέρα, ἔλεγε· Συγχαίρε ἡμῖν, πάτερ· ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει.

ιστ'. Σχολαστικοῦ παιδίον ἀπέθανεν· ἰδὼν δὲ πλῆθος λαοῦ συνελθεῖν, ἔλεγεν· Αἰσχύνομαι εἰς τοσοῦτον ὄχλον μικρὸν παιδίον προφέρειν.

ιζ'. Σχολαστικοῦ υἱὸς, ὑπὸ τοῦ πατρὸς εἰς πόλεμον ἐκπεμπόμενος, ὑπέσχετο ἑνὸς τῶν ἐχθρῶν κεφαλὴν

---

1 τῶν συμπλεόντων ἑκάστου περιπλεκομένων (i. e. πλεκομένων περί) σκεύους, "while the passengers were fastening themselves each to (lit. about) a utensil." In Greek, prepositions in composition very often govern a case, just as in their simple state. Here σκεύους (contr. for σκεύεος) is governed by περί.

2 διὰ τοῦ κινδύνου, "by reason of the danger." *Vide* διά.

3 ἔφη σπουδάζειν, "he said he was in haste." *Vide* ab. p. 7. n. 3.

4 ἀπορῶν δαπανημάτων, "being in want of money to spend."

[1] ἀγαγεῖν. Ὁ δὲ ἔφη, [2] εὔχομαι καὶ χωρὶς κεφαλῆς σε ἐλθόντα, μόνον ὑγιῆ ὄντα ἰδεῖν, καὶ εὐφρανθῆναι.

ιή. Σχολαστικῷ φίλος ἔγραψεν ἐν Ἑλλάδι ὄντι, βιβλία αὐτῷ ἀγοράσαι· [3] τοῦ δὲ ἀμελήσαντος, ὡς, μετὰ χρόνον, τῷ φίλῳ συνώφθη, εἶπε· τὴν ἐπιστολὴν, ἣν περὶ βιβλίων ἀπέστειλάς μοι, οὐκ ἐκομισάμην.

---

1 ἀγαγεῖν, Attic reduplication, for ἀγεῖν: thus below, ἤγαγεν for ἦγεν, ἐλήλυθα for ἦλυθα, &c.

2 εὔχομαι καὶ χωρὶς κεφαλῆς σε ἐλθόντα, μόνον ὑγιῆ ὄντα ἰδεῖν, "I pray that I may see thee arriving even without the head, being only sound."

3 τοῦ δὲ ἀμελήσαντος, "he having neglected." *Vide* above, p. 3. n. 5.

III.

E NOVO TESTAMENTO.

I. ΜΑΤΘΑΙΟΝ. Κεφ. ε'. ET ΛΟΥΚΑΝ. Κεφ. σ'.

Ἰδων δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ [1] καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς, λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ [2] εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Ἀλλ' [3] ὑμῖν λέγω τοῖς ἀκούουσιν, Ἀγαπᾶτε τοὺς

---

1 καθίσαντος, supply ἑαυτόν. Greek writers often use active verbs with an ellipsis of the reciprocal pronoun.

2 εἴπωσι—ψευδόμενοι, "say falsely." Greek writers often use the part. with verbs, where the English idiom requires an adverb.

3 ὑμῖν λέγω τοῖς ἀκούουσιν, "I say to you the persons that hear me." *Vide* above, p. 9. n. 7.

ἐχθροὺς ὑμῶν· [1] καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε [2] καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. Παντὶ δὲ τῷ αἰτοῦντι σε, δίδου· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει. Καὶ καθῶς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν [3] δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζητε, μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν [4] πολὺς, καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν [5] ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. [6] Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε. Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· [7] τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

---

1 καλῶς ποιεῖτε, "do well; do good."

2 καὶ, "also." *Vide* καί.

3 δανείζητε, sup. ἐκείνοις.

4 πολὺς, "much, plentiful."

5 ἐπὶ, "with regard to." *Vide* ἐπί.

6 καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· "and judge not, and (so) be not judged; condemn not, and (so) be not condemned." In Greek, a double neg. strengthens the negation.

7 τῷ γὰρ αὐτῷ μέτρῳ, "for with the same measure." *Vide* αὐτός.

II. ΙΩΑΝΝΗΝ. Κεφ. γ.

Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, [1] Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. Οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν [2] νυκτὸς, καὶ εἶπεν αὐτῷ· Ῥαββὶ, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ [3] ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· Πῶς δύναται ἄνθρωπος γεννηθῆναι [4] γέρων ὤν; [5] μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. [6] Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστι. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος. Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; Ἀμὴν ἀμὴν λέγω σοι, ὅτι [7] ὃ οἴδαμεν λαλοῦμεν,

---

1 Νικόδημος, sup. ἦν, "was."

2 νυκτός. Time is often put in the genitive, when the question is made by *quando*. Even in English we often hear, "he came of a night—of a morning."

3 ἐλήλυθας, *vide* ἔρχομαι.

4 γέρων ὤν, "being an old man; when he is an old man."

5 μὴ δύναται, "can he?" *Vide* μή.

6 τὸ γεγεννημένον, "the thing having been born; that which has been born."

7 ὃ οἴδαμεν λαλοῦμεν, "what we know we speak."

καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, [1] εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, [2] ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, [3] ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.

Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν, [4] ἐγγὺς τοῦ Σαλεὶμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο. Οὔπω γὰρ ἦν βεβλημένος

---

1 εἰ μὴ, *nisi*. *Vide* above, p. 8. n. 2.

2 ὥστε, connected with οὕτω, is translated simply "that," οὕτω having anticipated the first half of its meaning.

3 ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ, "that his deeds may not be convicted."

4 ἐγγὺς τοῦ Σαλεὶμ, "near Salim:" ἐγγὺς and a vast number of other adverbs govern the gen.

εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. [1] Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ. Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββὶ, [2] ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. [3] Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε, ὅτι εἶπον· οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, [4] χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί. Καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, [5] τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ· οὐ γὰρ [6] ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

---

1 ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων, "a dispute was then raised by the disciples of John with the Jews." *Vide* ἐκ.

2 ὃς. Construe, οὗτος ὃς ἦν—βαπτίζει. *Vide* above, p. 15. n. 4.

3 αὐτοὶ ὑμεῖς, "ye yourselves."

4 χαρᾷ χαίρει, "with joy rejoices:" the reiteration marking the excess of the joy.

5 sup. οὗτος.

6 ἐκ μέτρου, "out of a measure, i. e. in measured portions."

Κεφ. ιθ'.

Τοτε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν. Καὶ ἔλεγον· [1] Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ [2] λέγει αὐτοῖς· [3] Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν τοῦ Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη. Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ [4] εἶχες ἐξουσίαν [5] οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦ-

---

1 χαῖρε ὁ βασιλεὺς, "hail! king." The Greeks sometimes use the article or the dem. pro. οὗτος in addresses.

2 λέγει, sup. Πιλάτος.

3 Ἴδε, used as an interjection.

4 εἶχες, sup. ἂν, "thou wouldst not have had." ἂν is more than once elliptical with a past tense.

5 οὐδεμίαν. *Vide* above, p. 13, n. 6.

σαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι. Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ [1] ἐκάθισεν ἐπὶ τοῦ βήματος, [2] εἰς τόπον λεγόμενον Λιθόστρωτον, [3] Ἑβραϊστὶ δὲ Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν· ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον. Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν [4] εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ· Ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, [5] μέσον δὲ τὸν Ἰησοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστὶ, Ἑλληνιστὶ, Ῥωμαϊστί. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος· Ὃ γέγραφα, γέγραφα. Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος,)

---

1 ἐκάθισεν, sup. ἑαυτόν. *Vide* above, p. 12. n. 1.

2 εἰς τόπον, "at, or in, a place." *Vide* above, p. 9. n. 8.

3 Ἑβραϊστί. Adv. in στί are significative of a language or dialect.

4 εἰς τὸν, sup. τόπον.

5 μέσον, "in the middle." The Greeks often use adjectives where we use adverbs or prepositions with their *case*.

καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς [1] δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, [2] τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ, ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία [3] ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν [4] παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ [5] ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου,) ἠρώτησαν τὸν Πιλάτον, ἵνα [6] κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν

---

1 δὶ ὅλου, "through the whole." *Vide* διά.

2 τίνος ἔσται, "whose it shall be." ἔσται by sync. for ἔσεται.

3 ἡ, sup. γύνη or θυγάτηρ: this last or υἱὸς is often defective before the genitive of proper substantives; indeed the Arabian version renders, "the daughter of Cleophas."

4 παρεστῶτα, contracted for παρεστακότα, part. perf. act. of ἵστημι.

5 ἴδια, sup. μέρη, "to his own parts or quarters:" μέρος is often defective with an adjective neuter.

6 κατεαγῶσιν, Att. for καταγῶσιν: and a little below, κατέαξαν for κατῆξαν, both from κατάγω or κατάγνυμι; η of the augment being resolved into εα, which may be contracted back into η: thus also, ἐάλωκα for ἥλωκα, ἔαδα for ἥδα (p. mid. from ἥδω), &c.

πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη· Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ [1] ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία· [2] κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται [3] εἰς ὃν ἐξεκέντησαν. Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον [4] ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων,) ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. Ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον) φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν, ἐν ᾧ [5] οὐδέπω οὐδεὶς ἐτέθη. Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

---

1 ἑωρακὼς, Att. for ὡρακὼς; ε being prefixed over and above the common augment; thus, ἀνέῳξα for ἀνῷξα, ἐώνημαι for ὤνημαι, &c.

2 κἀκεῖνος, for καὶ ἐκεῖνος.

3 εἰς, sup. αὐτόν.

4 ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, "the Joseph from (or, of) Arimathea."

5 οὐδέπω οὐδείς. *Vide* above p. 13. n. 6.

IV.

EX ANACREONTIS CARMINIBUS.

*ΑΝΑΚΡΕΟΝΤΟΣ ΩΔΑΙ.

I.

ΕΙΣ ΛΥΡΑΝ.

Θελω λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἀ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην, 5
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε, λοιπὸν, ἡμῖν, 10

---

* Anacreon's diction is considerably tinctured from the Ionic dialect, and we shall explain that dialect, as far as it is exemplified in these Odes, as we go along.

I. 3. ἄ, Dor. for ἡ, art. fem.—χορδαῖς, "with its strings." The Dorians very often change η into α.

6. λύρην, Ion. for λύραν. The Ionians change α of the first declension, when it comes after a vowel or ρ, into η; thus below, ποδωκίην (for -ίαν), φαρέτρην, ἱστίην. &c.

7. ᾖδον, "was singing."

10. χαίροιτε, λοιπὸν, ἡμῖν, "farewell (may you rejoice), henceforth, for us:" λοιπὸν being used adverbially, as neuter adjectives often are, both singular and plural, both with and without the article.

Ἥρωες· ἡ λύρη γὰρ
Μόνους ἔρωτας ᾄδει.

II.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φύσις κέρατα ταύροις,
Ὁπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,
Λέουσι χάσμ' ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν, 5
Τοῖς ὀρνέοις πέτασθαι,
Τοῖς ἀνδράσι φρόνημα·
Γυναιξὶν—οὐκ ἔτ' εἶχεν·
Τί οὖν δίδωσι;—κάλλος,
Ἀντ' ἀσπίδων ἁπασῶν, 10
Ἀντ' ἐγχέων ἁπάντων·
Νικᾷ δὲ καὶ σίδηρον,
Καὶ πῦρ, καλή τις οὖσα.

III.

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,

II. 4. χάσμ' ὀδόντων, "yawning of teeth."

5. τὸ νηκτὸν, "*the swimming.*" Neuter adjectives are sometimes put like abstract substantives.

6. πέτασθαι, "to fly."

8. οὐκ ἔτ' εἶχεν (sup. τι), "she had no more any thing."

12, 13. νικᾷ. Construe, δέ τις οὖσα καλὴ νικᾷ καὶ σίδηρον καὶ πῦρ.

III. 1. ποθ' for ποτὲ. *Vide* above, p. 4. n. 8.

2. στρέφεται, "is turning."

3. κατὰ χεῖρα τὴν Βοώτου, "at the hand of Bootes."

Μερόπων δὲ φῦλα πάντα
Κέαται κόπῳ δαμέντα· 5
Τότ' Ἔρως ἐπισταθείς μευ
Θυρέων ἔκοπτ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατά μευ σχίσεις ὀνείρους.
Ὁ δ' Ἔρως, ἄνοιγε, φησὶ, 10
Βρέφος εἰμὶ, μὴ φόβησαι,
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ' ἀκούσας,
Ἀνὰ δ' εὐθὺ λύχνον ἅψας 15
Ἀνέῳξα, καὶ βρέφος μὲν
Ἐσορῶ, φέροντα τόξον
Πτέρυγάς τε καὶ φαρέτρην·
Παρὰ δ' ἱστίην καθίσας,
Παλάμαισι χεῖρας αὐτοῦ 20

---

5. κέαται, Ion. for κεῖνται, the ν being changed into α: thus, τετάχαται for τέταχνται, (per. pass. from τάσσω) in use τεταγμένοι εἰσὶ; ἐπετάχατο for ἐτέταχντο, in use τεταγμένοι ἦσαν, γενοίατο for γενοίντο, &c.

6, 7. τότ' Ἔρως. Construe, τότ' Ἔρως ἐπισταθεὶς ἔκοπτε ὀχῆας θυρέων μευ, "then Cupid, having come near (being placed near) was knocking at the bars of my doors:" ἐπισταθεὶς, part. 1 aor. pass. from ἐφίστημι; μευ θυρέων ὀχῆας, Ion. for μου θύρων ὀχέας.

9. κατὰ is disjoined from σχίσεις by *tmesis*, "you will rend down." *Vide* κατά.

12. κἀσέληνον for καὶ ἀσέληνον. Construe, καὶ πεπλάνημαι κατὰ ἀσέληνον νύκτα, "and I have been made to wander in a moonless night."

14. ἐλέησα, Ion. for ἠλέησα. The Ionians very often reject the augment.

15. ἀνὰ δ' εὐθὺ λύχνον ἅψας, "and straightway having lighted up a lamp:" ἀνὰ is disjoined from ἅψας by *tmesis*, as above, ver. 9. *Vide* ἀνά.

16, 17. βρέφος—φέροντα; βρέφος, neut. φέροντα, masc. A substantive often stands with adjectives and participles, in its *form* disagreeing with them in gender or number, but in its *signification* agreeing with them.

20. παλάμαισι, Ion. for παλάμαις. The Ionians change the dat. plur. αις into αισι or ῃσι, and οις into οισι, and form it in the third declension by adding σι to the nom. plur. thus below, κροτάφοισι, θεοῖσι, χαρίτεσσι, &c.

Ἀνέθαλπον, ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον, ἐς τί μοι νῦν 25
Βλάβεται βραχεῖσα νευρή.
Τανύει δὲ, καί με τύπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος,
Ἀνὰ δ' ἄλλεται καχάζων,
Ξένε, δ' εἶπε, συγχάρηθι· 30
Κέρας ἀβλαβὲς μέν ἐστι,—
Σὺ δὲ καρδίην πονήσεις.

IV.

ΕΙΣ ἑΑΥΤΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας, θέλω προπίνειν.
Ὁ δ' Ἔρως, χιτῶνα δήσας
Ὑπὲρ αὐχένος παπύρῳ, 5

---

23. μεθῆκε, "dismissed itself;" the reciprocal pronoun ἑαυτὸ being defective. *Vide* above, p. 12. n. 1.

24. φέρε, "come (bring thyself);" the rec. pro. σεαυτὸν being defective. *Vide* last note.

25. ἐς τί (sup. μέρος), "to what part or degree." *Vide* ab. p. 19. n. 5.

26. βλάβεται, from βλάβω, in use βλάπτω.

28. μέσον, sup. κατὰ, "as to the middle (of the) heart." The accusative, both with verbs and adjectives, has often the sense "as to," κατὰ being defective.

29. ἀνὰ is disjoined from ἄλλεται by *tmesis*, as above, ver. 9. 15.

32. καρδίην, "as to the heart." *Vide* above, ver. 28.

IV. 3. στορέσας, sup. the rec. pro. ἐμαυτὸν, "having stretched myself." *Vide* ab. Ode III. v. 24.

4. 6. ὁ δ' Ἔρως—μέθυ μοι διακονείτω, "and let Cupid minister wine to me."

Μέθυ μοι διακονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα,
Βιότος τρέχει κυλισθείς·
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων. 10
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δε γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην. 15
Πρὶν ἐκεῖσε δεῖ μ' ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

V.

ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν ἐρώτων
Μίξωμεν Διονύσῳ.
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες. 5
Ῥόδον ὦ φέριστον ἄνθος,
Ῥόδον εἴαρος μέλημα.
Ῥόδα καὶ θεοῖσι τερπνά.

---

7. τροχὸς ἅρματος γὰρ οἷα, "for, as a wheel of a chariot:" οἷα neut. plur. adverbially. *Vide* above, Ode I. v. 10.

11. τί, sup. διά. *Vide* above, p. 2. n. 4.

16, 17. πρίν. Construe, πρὶν δεῖ μ' ἀπελθεῖν ἐκεῖσε ὑπὸ χορείας νερτέρων, "before it is necessary for me to go off thither, near the choirs of the infernals." *Vide* ὑπό.

V. 1, 2. τὸ ῥόδον τὸ —, "let us mix with Bacchus (i. e. wine) the rose of the loves."

5. ἁβρὰ γελῶντες, "laughing pleasantly;" ἁβρὰ being used adverbially. *Vide* above, Ode I. v. 10.

THE MASTER'S COLLEGE

Ῥόδα παῖς ὁ τῆς Κυθήρης
Στέφεται καλοῖς ἰούλοις, 10
Χαρίτεσσι συγχορεύων.
Στέψον οὖν με, καὶ λυρίζων
Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κούρης βαθυκόλπου,
Ῥοδίνοισι στεφανίσκοις 15
Πεπυκασμένος, χορεύσω.

VI.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πετᾶσαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,
Πνέεις τε καὶ ψεκάζεις; 5
Τίς εἶς;—τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατοῦντα καὶ τύραννον. 10
Πέπρακέ μ' ἡ Κυθήρη
Λαβοῦσα μικρὸν ὕμνον·

9, 10. ῥόδα παῖς ὁ—, "the child of Venus crowns roses (i. e. puts crowns of roses) upon his fair locks."

14, 16. μετὰ κούρης βαθυκόλπου—χορεύσω, "I will dance with a deep-bosomed maid."

VI. 3. πόθεν μύρων. Construe, πόθεν, θέουσα ἐπ' ἠέρος, τε πνέεις καὶ ψεκάζεις τοσούτων μύρων, "whence, skimming upon air, dost thou both breathe and drop a portion of so many odours?" The Greeks often use the genitive after verbs of all kinds, when the action of the verb has reference to a part only of an object.

6. τί σοι μέλει δὲ, "and what is a care to thee? what is thy charge?"

Ἐγὼ δ' Ἀνακρέοντι
Διακονῶ τοσαῦτα·
Καὶ νῦν, ὁρᾷς, ἐκείνου 15
Ἐπιστολὰς κομίζω·
Καί φησιν εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δὲ, κἢν ἀφῇ με,
Δούλη μενῶ παρ' αὐτῷ. 20
Τί γάρ με δεῖ πέτασθαι
Ὄρη τε καὶ κατ' ἀγροὺς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον, 25
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ.
Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον ὃν προπίνει.
Πιοῦσα δ' οὖν χορεύω, 30
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συσκιάζω·
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε· 35
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

---

14. διακονῶ τοσαῦτα, "perform so many services."

18. ποιήσειν, "that he will make." *Vide* above, p. 7. n. 3.

19. κἢν for καὶ ἤν.

22. ὄρη. Construe, κατά τε ὄρη καὶ ἀγρούς, "along both mountains and fields."

26. ἀφαρπάσασα χειρῶν, "plucking it from the hands."

33. κοιμωμένη, "being lulled to rest."

35. ἔχεις ἅπαντ', "you have all (that I can tell you)."

36, 37. λαλιστέραν μ' ἔθηκας —, "you have made me more talkative, O man, even than a jackdaw."

VII.

ΕΙΣ ΈΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ·
Λαβὼν ἔσοπτρον, ἄθρει
Κόμας μὲν οὐκ ἔτ' οὔσας,
Ψιλὸν δέ σευ μέτωπον. 5
Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὰ τερπνὰ παίζειν, 10
Ὅσῳ πέλας τὰ μοίρης.

VIII.

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω, θέλω φιλῆσαι·
Ἔπειθ' Ἔρως φιλεῖν με·
Ἐγὼ δ' ἔχων νόημα
Ἄβουλον, οὐκ ἐπείσθην.
Ὁ δ' εὐθὺ τόξον ἄρας 5
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.

VII. 4. οὐκ ἔτ' οὔσας, "no more existing."

6, 7, 8. τὰς κόμας —, "know not whether the locks (*lit.* know not the locks, whether they) are or have departed."

9, 10, 11. ὥς. Construe, ὥς πρέπει τῷ γέροντι παίζειν τὰ τερπνὰ (τοσούτῳ) μᾶλλον ὅσῳ τὰ (πράγματα) μοίρης ἐστὶ πέλας, "that it suits the old man the more to use pleasant sports, in proportion as the things of fate are near."

VIII. 7. μάχῃ με προὐκαλεῖτο, "called me forth to battle:" προὐκαλ. contr. for προεκαλ.

Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοείην, 10
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ', ἐγὼ δ' ἔφευγον,
Ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστοὺς,
Ἧσχαλλεν· εἶθ' ἑαυτὸν
Ἄφηκεν εἰς βέλεμνον· 15
Μέσος δὲ καρδίης μευ
Ἔδυνε, καί μ' ἔλυσε.
Μάτην δ' ἔχω βοείην·
Τί γὰρ βαλώμεθ' ἔξω,
Μάχης ἔσω μ' ἐχούσης; 20

IX.

ΕΙΣ ΤΗΝ ΈΑΥΤΟΥ ΈΤΑΙΡΑΝ.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
Ἀπέουσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην. 5
Γράφε μοι τρίχας τὸ πρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·

---

9. Θώρηχ' for Θώρηκα, Ionic for Θώρακα. *Vide* p. 4. n. 8.

10. δοῦρα. *Vide* δόρυ.

13. ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστοὺς, "and when he no longer had darts."

15. εἰς βέλεμνον, "for a dart."

16, 17. μέσος δὲ καρδίης μευ ἔδυνε, "and he entered in the middle of my heart:" μέσος for ἐν μέσῳ. *Vide* above, p. 18. n. 5.

19, 20. τί γὰρ βαλώμεθ'—, "for why should we dart without, when the battle holds me within?"

IX. 3, 4, 5. Ῥοδίης κοίρανε τέχνης—, "prince of the Rhodian art, paint my mistress in her absence, as I may direct you."

Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρου πνεούσας.
Γράφε δ' ἐξ ὅλης παρειῆς 10
Ὑπὸ πορφύραισι χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι
Διάκοπτε, μήτε μίσγε.
Ἐχέτω δ', ὅπως ἐκείνη, 15
Τὸ λεληθότως σύνοφρυ
Βλεφάρων ἴτυν κελαίνην.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ τοῦ πυρὸς ποίησον·
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης· 20
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἷα Πειθοῦς,
Προκαλούμενον φίλημα. 25
Τρυφερῶ δ' ἔσω γενείου
Περὶ Λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τολοιπὸν αὐτὴν
Ὑποπορφύροισι πέπλοις· 30

8, 9. ὁ δὲ κηρὸς ἂν δύνηται —, "and if the wax be able, paint them also breathing a portion of perfume." *Vide* above, Ode VI. v. 3.

10, 11, 12. γράφε δ' ἐξ ὅλης παρειῆς —, "and paint also an ivory forehead (rising) out of a full cheek, under dark-black hair."

13—17. τὸ μεσόφρυον. Construe, δὲ μὴ διάκοπτέ μοι, μήτε μίσγε τὸ μεσόφρυον. δὲ τὸ λεληθότως σύνοφρυ (sup. ἄγαλμα or εἶδος) ἐχέτω, ὅπως ἐκείνη, ἴτυν βλεφάρων κελαίνην, "and disjoin not for me, nor confound, the space between the eyebrows: and let this image with eyebrows imperceptibly blended have, as she has, the circular verge of the eyelids black."

20, 21. ἅμα γλαυκὸν —, "at once blue, as Minerva's; and at once watery, as Venus'."

24. οἷα Πειθοῦς, "as the lip of persuasion." *Vide* above, Ode IV. v. 7.

29. τολοιπὸν, "as to the rest." *Vide* above, Ode I. v. 10.

Διαφαινέτω δὲ σαρκῶν
Ὀλίγον, τὸ σῶμ' ἔλεγχον.
Ἀπέχει· βλέπω γὰρ αὐτήν.
Τάχα, κηρὲ, καὶ λαλήσεις.

X.

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε πῶς, ἔαρος φανέντος,
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε, πῶς κῦμα θαλάσσης
Ἀπαλύνεται γαλήνῃ.
Ἴδε, πῶς νῆσσα κολυμβᾷ. 5
Ἴδε, πῶς γέρανος ὁδεύει.
Ἀφελῶς δ' ἔλαμψε Τιτὰν,
Νεφελῶν σκιαὶ δονοῦνται.
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα.
Καρποῖσι γαῖα προκύπτει. 10
Καρπὸς ἐλαίας προκύπτει.
Βρομίου στέφεται νᾶμα.
Κατὰ φύλλον, κατὰ κλῶνα,
Καθελὼν ἤνθησε καρπός.

31, 32. διαφαινέτω δὲ —, "and let a little of the skin appear through, proving the person."

33. ἀπέχει, "it is enough."

X. 7. ἀφελῶς δ' ἔλαμψε Τιτὰν, "and the sun has shone forth in simplicity, i.e. without an attending cloud."

9. τὰ βροτῶν δ' ἔλαμψεν ἔργα, "and the labours of mortals have shone forth."

13, 14. κατὰ φύλλον —, "along the leaf, along the branch, the fruit, pulling them down, has flourished forth."

XI.

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη.
Τὸν δάκτυλον δὲ δαχθεὶς
Τᾶς χειρὸς ὠλόλυξε. 5
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω.
Ὄφις μ' ἔτυψε μικρὸς 10
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἁ δ' εἶπεν· εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,
Πόσον, δοκεῖς, πονοῦσιν, 15
Ἔρως, ὅσους σὺ βάλλεις;

XII.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,

XI. 3. ἐτρώθη. *Vide* τιτρώσκω.

4, 5. τὸν δάκτυλον δὲ—, "and being bit as to the finger of his hand, he screamed:" δαχθεὶς and τᾶς, Doric, for δηχθεὶς (from δάκνω) and τῆς; thus immediately below, μᾶτερ for μῆτερ, ἁ for ἡ. *Vide* above, Ode. I. v. 3.

13, 14. εἰ τὸ κέντρον—, "if the sting of the bee causes you to labour (with pain)." Intransitive verbs, such as πονέω, are sometimes put, especially by the poets, with an accusative, and may be translated by prefixing the English verb "to make or cause," to their proper signification.

Ὅτι δενδρέων ἐπ' ἄκρων,
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.
Σὰ γάρ ἐστι κεῖνα πάντα 5
Ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρουσιν ὕλαι.
Σὺ δὲ φιλίος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων.
Σὺ δὲ τίμιος βροτοῖσι, 10
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι·
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει, 15
Σοφὲ, γηγενὴς, φίλυμνε,
Ἀπαθὴς, ἀναιμόσαρκε·
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

XIII.

ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων,
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς Ἔρωτα· 5
Σοφίη, τρόπος πατεῖται.

XII. 4. βασιλεὺς ὅπως, "as a king."

7. χ' for καί. *Vide* above, Ode VIII. v. 9.

9. ἀπὸ μηδενός τι βλάπτων, "from no one spoiling (i. e. taking away by spoiling) any thing."

XIII. 1. χαλεπὸν τὸ μὴ φιλῆσαι, "the not loving (i. e. not to love) is hard." *Vide* above, p. 2. n. 6.

5. γένος οὐδὲν εἰς Ἔρωτα, "birth is nothing to (i. e. in the estimation of) love."

Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς
Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφὸς, 10
Διὰ τοῦτον οὐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

XIV.

ΕΙΣ ΓΕΡΟΝΤΑ.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτάν.
Γέρων δ' ὅταν χορεύῃ,
Τρίχας γέρων μὲν ἐστι,
Τὰς δὲ φρένας νεάζει. 5

8, 9. ἀπόλοιτο —, "perish that man who first loved silver." *Vide* above, p. 9. n. 7.

10. διὰ τοῦτον οὐκ ἀδελφὸς, "by reason of him, brother is not."

13. τὸ δὲ χεῖρον, "and what is worse." The article is often used for the relative pronoun, ὁς, ἡ, ὁ.

XIV. 4. τρίχας, "as to his locks." *Vide* θρίξ.

V.

EX TYRTÆI ELEGIIS.

ΤΥΡΤΑΙΟΥ ΕΛΕΓΕΙΑΙ.

I.

ΠΕΡΙ ΤΗΣ ΠΟΛΕΜΙΚΗΣ 'ΑΡΕΤΗΣ.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,
Οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης·
Οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
Νικῴη δὲ θέων Θρηΐκιον βορέην·
Οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη, 5
Πλουτοίη δὲ Μίδεω καὶ Κινύραο πλέον·
Οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
Γλῶσσαν δ' 'Αδρήστου μειλιχόγηρυν ἔχοι·
Οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
Οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ, 10

I. 2. ἀρετῆς. The Greek genitive has often the sense, "on account of."

4. νικῴη, Att. for νικάοι, contr. νικῷ. The Attics change the termination of the opt. pres. of pure verbs, after contraction, into ην; thus, ποθέοιμι, ποθοῖμι, ποθοίην; νικάοιμι, νικῷμι, νικῴην; χρυσόοιμι, χρυσοῖμι, χρυσοίην. *Vide* example above, p. 6. n. 1. and immediately below, πλουτοίη. θέων, "in running;" the part. may often be translated by one of these five signs, "in, if, because, although, by."

5, 6, 7. φυὴν, "as to form;" Μίδεω and Ταντα λίδεω, Ion. for Μίδου and Ταντα λίδου; Κινύραο, Ion. for Κινύρου.

Εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
Καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
Ἡ δ' ἀρετὴ, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ 15
Ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
Νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπιπάγχυ λάθηται,
Ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος·
Θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς·
Οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ. 20
Αἶψα δὲ δυσμένεων ἀνδρῶν ἔτρεψε φάλαγγας
Τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν,
Ἀστύ τε καὶ λαοὺς, καὶ πατέρ' εὐκλεΐσας·
Πολλὰ διὰ στέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης, 25
Καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
Ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
Καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω· 30
Οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
Ἀλλ', ὑπὸ γῆς περ ἐὼν, γίγνεται ἀθάνατος,

---

11. εἰ μὴ τετλαίη ὁρῶν, "unless he could endure to see." The Greeks use the participle with verbs of knowing, declaring, enduring, beginning, desisting, &c. where the Latins use the infinitive.

12. δηΐων ὀρέγοιτ', "could stretch (his hands) at the foe."

13, 14. ἡ δ' ἀρετὴ, τόδ' —, "but valour, this is the noblest prize among men, and the fairest for a young man to carry off."

15. ξυνὸν δ' ἐσθλὸν τοῦτο, "and this is a common good." *Vide* above, Anac. Ode II. v. 5.

16. διαβὰς, "striding firmly."

18. παρθέμενος, "putting forth; exposing." *Vide* παρατίθημι.

21. ἔτρεψε, "he is wont to turn." Past tenses are sometimes translated in a present form, as expressing "what is wont to be," which is equivalent to "what has hitherto been."

23. ὤλεσε, "usually loses." *Vide* last note.

25, 26. πολλὰ — ἐληλαμένος, "having received many thrusts."

32. ὑπὸ γῆς περ ἐὼν, "albeit being under earth."

Ὄντιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε,
Γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
Εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέος θανάτοιο, 35
Νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλοι·
Πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί.
Πολλὰ δὲ τερπνὰ πάθων ἔρχεται εἰς ἀΐδην.
Γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
Βλάπτειν, οὔτ' αἰδοῦς οὔτε δίκης, ἐθέλει. 40
Πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
Εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
Πειράσθω, θυμὸν μὴ μεθιεὶς πολέμου.

II.

ΤΟΥ ΑΥΤΟΥ.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
Ἀνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
Πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον,
Πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι, 5
Παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
Ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
Χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·

---

38. πολλὰ δὲ τερπνὰ πάθων, "having enjoyed many pleasant things." *Vide* πάσχω.

40. οὔτ' αἰδοῦς —, "neither in respect of reverence, nor of right." The Greek genitive has very often the general sense, "with respect to, with regard to."

41. οἵ τε κατ' αὐτὸν, "and those in the time of himself, i. e. his coevals." *Vide* κατά.

43. τις ἀνὴρ, "let each man."

44. θυμὸν μὴ μεθιεὶς πολέμου, "not turning his soul from battle" (μεθιεὶς θυμὸν πολέμου); or, "not neglecting battle in his soul" (μεθιεὶς πολέμου [κατὰ] θυμόν): μεθίημι governs accus. or gen.

II. 1. τεθνάμεναι, Old Greek for τεθνάναι, from τέθνημι, in use θνήσκω.

3. προλιπόντα (sup. τινὰ), "for one having left." *Vide* p. 6. n. 5.

7. ἐχθρὸς—τοῖσι μετέσσεται, "an object of hatred shall he be among those."

Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
Πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται. 10
Εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὥρη
Γίγνεται, οὔτ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς πέρι τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες, 15
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου·
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
Τοὺς δὲ παλαιότερους, ὧν οὐκέτι γούνατ' ἐλαφρὰ,
Μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς· 20
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γενεῖον,
Θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
Καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν, 25
Ὄφρ' ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχει,
Ἀνδράσι μὲν θνητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ,
Ζωὸς ἐὼν, καλὸς δ' ἐν προμάχοισι πεσών.

---

9. κατὰ—ἐλέγχει, "he disgraces;" a *tmesis*. *Vide* above, Anac. Ode III. v. 9, 15, 29.

14. ψυχέων, Ion. for ψυχῶν. The Ionians very often insert ε before a vowel, especially before a diphthong or contraction. *Vide* example above, Anac. Ode III. v. 7. and Herodotus, *passim*.

19. τοὺς δὲ παλαιότερους, "as to the elder."

25. χρόα, "as to body." *Vide* Anac. Ode III. v. 28.

27. ἀνδράσι μὲν —, "lovely to mortal men and women to look upon."

VI.

EX LUCIANI DIALOGIS.

ΛΟΥΚΙΑΝΟΥ ΜΥΘΩΔΗ.

ΔΙΑΛΟΓΟΣ α'.

ΖΕΥΣ καὶ ΈΡΜΗΣ.

Ζ. Τὴν τοῦ Ἰνάχου παῖδα τὴν καλὴν [1] οἶσθα, ὦ Ἑρμῆ; ΈΡ. Ναί· τὴν Ἰὼ λέγεις. Ζ. Οὐκ ἔτι παῖς ἐκείνη ἐστιν, ἀλλὰ δάμαλις. ΈΡ. [2] Τεράστιον τοῦτο· [3] τῷ τρόπῳ δ' ἐνηλλάγη; Ζ. Ζηλοτυπήσασα ἡ Ἥρα, μετέβαλεν αὐτήν· ἀλλὰ καὶ καινὸν ἄλλο τι δεῖνον ἐπιμεμηχάνηται τῇ κακοδαίμονι· βουκόλον τινα πολυόμματον, Ἄργον [4] τοὔνομα, [5] ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν. ΈΡ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν; Ζ. [6] Καταπτάμενος ἐς τὴν Νέμεαν, ἐκεῖ δέ [7] που ὁ Ἄργος βουκολεῖ, ἐκεῖνον μεν ἀπόκτεινον· τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀπαγαγὼν,

---

1 οἶσθα, by sync. Attic, for οἴδασθα, Æol. for οἶδας.

2 τεράστιον τοῦτο (sup. ἐστι), "this is portentous."

3 τῷ, Att. for τίνι.

4 τοὔνομα for τὸ ὄνομα, "as to name."

5 ἐπέστησεν. *Vide* ἐφίστημι.

6 καταπτάμενος, "having flown down;" part. aor. 2. mid. *Vide* καθίπτημι.

7 που, "somewhere." *Vide* που.

[1] Ἴσιν ποίησον· καὶ [2] τολοιπὸν ἔστω θεὸς τοῖς ἐκεῖ· καὶ τὸν Νεῖλον ἀναγέτω, καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω, καὶ σωζέτω τοὺς πλέοντας.

ΔΙΑΛΟΓΟΣ β'.

ΙΡΙΣ καὶ ΠΟΣΕΙΔΩΝ.

ΙΡ. [3] Τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, τὴν ἀποσπασθεῖσαν τῆς Σικελίας, ὕφαλον ἐπινήχεσθαι συμβέβηκε· ταύτην, φησὶν ὁ Ζεύς, στῆσον ἤδη, καὶ ἀνάφηνον, καὶ ποίησον ἤδη [4] δῆλον ἐν τῷ Αἰγαίῳ μέσῳ βεβαίως μένειν, στηρίξας πάνυ ἀσφαλῶς· [5] δεῖται γάρ τι αὐτῆς. ΠΟ. [6] Πεπράξεται τοῦτο, ὦ Ἶρι· [7] τίνα δὲ ὅμως παρέξει αὐτῷ τὴν χρείαν ἀναφανεῖσα, καὶ μηκέτι πλέουσα; ΙΡ. Τὴν Λητὼ ἐπ' αὐτῆς δεῖ ἀποκυῆσαι· ἤδη γὰρ [8] πονηρῶς ὑπὸ τῶν ὠδίνων ἔχει. ΠΟ. Τί οὖν; οὐχ ἱκανὸς ὁ οὐρανὸς ἐντεκεῖν; [9] εἰ δὲ μὴ οὗτος, ἀλλά γε πᾶσα ἡ γῆ οὐκ ἂν ὑποδέξεσθαι δύναιτο τὰς αὐτῆς γονάς; ΙΡ. Οὐκ, ὦ Πόσειδον· ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ κατέλαβε τὴν γῆν, μὴ παρασχεῖν τῇ Λητοῖ τῶν ὠδίνων ὑποδοχήν· ἡ τοίνυν νῆσος αὐτὴ ἀνώμο-

---

1 Ἴσιν ποίησον, "make her Isis."

2 τολοιπόν. *Vide* Anac. Ode I. v. 10.

3 τὴν νῆσον—ὕφαλον ἐπινήχεσθαι συμβέβηκε, "it has so happened that the island is floating under sea."

4 δῆλον — μένειν, "to remain apparent;" from the word δῆλον, the island got its name, *Delos.*

5 δεῖται γάρ τι αὐτῆς, "for he wants something of it."

6 πεπράξεται, Attic and Ionic reduplication, for πράξεται, mid. for pass. *Vide* πράσσω.

7 τίνα δὲ ὅμως —, "but notwithstanding, what advantage will it afford to him when made appear?"

8 πονηρῶς — ἔχει, "holds herself (i. e. is) badly." ἔχω is very often put, especially with adverbs, with the rec. pro. defective.

9 εἰ δὲ μὴ οὗτος, ἀλλά γε —, "but if this is not (sufficient), yet could not the whole earth receive her offspring?"

τός ἐστιν· ἀφανὴς γὰρ ἦν. ΠΟ. Συνίημι· στῆθι, ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ τοῦ βυθοῦ· καὶ μηκέτι [1] ὑποφέρου, ἀλλὰ βεβαίως μένε, καὶ ὑπόδεξαι, ὦ εὐδαιμονεστάτη, [2] τοῦ ἀδελφοῦ τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν· καὶ ὑμεῖς, ὦ Τρίτωνες, διαπορθμεύσατε τὴν Λητὼ ἐς αὐτήν· καὶ γαληνὰ ἅπαντα ἔστω· τὸν δράκοντα δὲ, ὃς νῦν ἐξοιστρεῖ αὐτὴν φοβῶν, τὰ νεογνὰ, ἐπειδὰν τεχθῇ, αὐτίκα [3] μέτεισι, καὶ τιμωρήσει τῇ μητρί· σὺ δὲ ἀπάγγελλε τῷ Διὶ πάντα εἶναι εὐτρεπῆ· [4] ἕστηκεν ἡ Δῆλος· ἡκέτω ἡ Λητὼ καὶ τικτέτω.

ΔΙΑΛΟΓΟΣ γ'.

ΞΑΝΘΟΣ καὶ ΘΑΛΑΣΣΑ.

ΞΑΝ. Δέξαι με, ὦ Θάλασσα, δεινα πεπονθότα· κατάσβεσόν μου τὰ τραύματα. ΘΑ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν; ΞΑΝ. Ἥφαιστος· ἀλλ' ἀπηνθράκωμαι ὅλως [5] ὁ κακοδαίμων, καὶ ζέω. ΘΑ. Διατί δέ σοι ἐνέβαλε τὸ πῦρ; ΞΑΝ. Διὰ τὸν υἱὸν Θέτιδος· ἐπεὶ γὰρ [6] φονεύοντα τοὺς Φρύγας ἱκέτευσα, οὐδ' οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ' [7] ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον, ἐπικλύσαι θέλων, ὡς φοβηθεὶς [8] ἀπόσχοιτο τῶν ἀνδρῶν· ἐνταῦθα ὁ Ἥφαιστος, [9] ἔτυχε καὶ γαρ πλησίον που

---

1 ὑποφέρου, "carry thyself below."

2 τοῦ ἀδελφοῦ, "of my brother (Jupiter)."

3 μέτεισι, "shall go after." The present of εἶμι, eo, is often used by the Attics in a future sense.

4 ἕστηκεν, "has made itself to stand;" the rec. pro. being defective.

5 ὁ κακοδαίμων (sup. ἐγὼ), "I wretched."

6 φονεύοντα. Sup. αὐτόν.

7 ὑπὸ τῶν νεκρῶν —, "by corses he was damming up my current."

8 ἀπόσχοιτο τῶν ἀνδρῶν, "he might hold himself off from the men."

9 ἔτυχε καὶ γὰρ πλησίον που ὤν, "for he was, by chance, near somewhere." With τυγχάνω, λανθάνω, φθάνω, and some other verbs which express only a cir-

ὢν, [1] πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ εἴποθι ἄλλοθι, φέρων, ἐπῆλθέ μοι· καὶ ἔκαυσε μὲν τὰς πτελέας, καὶ μυρίκας· ἤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθύς, καὶ τὰς ἐγχέλυας· αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, [2] μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται· ὁρᾷς δ' οὖν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐκκαυμάτων. ΘΑ. Θολερὸς, ὦ Ξάνθε, καὶ θερμὸς, ὡς εἰκός· [3] τὸ αἷμα μὲν, ἀπὸ τῶν νεκρῶν· ἡ θέρμη δὲ, ὡς φῄς, ἀπὸ τοῦ πυρός· καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν. ΞΑΝ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας; ΘΑ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

ΔΙΑΛΟΓΟΣ δ'.

Ἡφαιστος καὶ Ζευς.

ΗΦΑΙ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; [4] ἥκα γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, [5] εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖγε, ὦ Ἥφαιστε· ἀλλὰ [6] δίελέ μου τὴν κεφαλὴν εἰς δύο, [7] κατενεγκών. ΗΦΑΙ. [8] Πειρᾷ μου, εἰ μέμηνα; πρόσταττε δ' οὖν τἀληθὲς, ὅπερ θέλεις σοι γενέσθαι. Ζ. Διαιρεθῆναί

---

cumstance of an action, the verb of which they express a circumstance is put in the participle.

1 πᾶν ὅσον —, "bringing all his fire, as much, I think, as he had, and as much as is in Ætna, and anywhere else."

2 μικροῦ δεῖν, "almost." Thus also ὀλίγου δεῖν, and both μικροῦ and ὀλίγου, δεῖν being defective.

3 τὸ αἷμα μὲν —, "'tis the blood from the corses; and the heat, as you say, from the fire."

4 ἥκα, perf. from ἥκω.

5 εἰ καὶ, "if even."

6 δίελε. *Vide* διαιρέω.

7 κατενεγκών. *Vide* καταφέρω.

8 πειρᾷ μου, εἰ μέμηνα, "are you trying me, if I be mad?" *Vide* πειράω and μαίνομαι.

μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, [1] οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου· ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. ΗΦΑΙ. [2] Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ, οὐδὲ [3] κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. ΗΦΑΙ. Ἄκων μεν, [4] κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν, [5] καὶ ταῦτα ἔνοπλον· ἦπου στρατόπεδον, οὐ κεφαλὴν [6] ἐλελήθεις ἔχων· ἡ δὲ πηδᾷ, καὶ πυῤῥιχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ· καὶ [7] τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη [8] ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ [9] κοσμεῖ καὶ τοῦτο ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγγυήσας μοι αὐτήν. Ζ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ θέλει μένειν· ἐγὼ γοῦν [10] τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω. ΗΦΑΙ. Τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά· καὶ ἤδη συναρπάσω αὐτήν. Ζ. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει· πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

---

1 οὐ νῦν πρῶτον —, "you shall not now for the first time experience my wrath," meaning that he had experienced it before, when he was hurled by Jupiter from heaven to earth, and fell on the island Lemnos.

2 ὅρα, "look to it;" imperat. contr. for ὅραε.

3 κατὰ τὴν Εἰλείθυιαν, "according to (the manner of) Lucina."

4 κατοίσω. *Vide* καταφέρω.

5 καὶ ταῦτα ἔνοπλον, "and that too, armed."

6 ἐλελήθεις ἔχων, "you had, unperceived." *Vide* above, p. 41. n. 9. ἐλελήθεις, plup. indic. from λήθω, in use λανθάνω.

7 τὸ μέγιστον, "what is greatest." *Vide* above, Anac. Ode XIII. v. 13.

8 ἐν βραχεῖ, "in a short time."

9 κοσμεῖ καὶ τοῦτο ἡ κόρυς, "her helmet too sets off this circumstance (viz. her being blue-eyed)."

10 (κατὰ) τό γε ἐπ' ἐμοί, "for my part; as to the share lying upon me."

ΔΙΑΛΟΓΟΣ ε'.

ΖΕΥΣ, ΑΣΚΛΗΠΙΟΣ, Ἡρακλῆς.

Ζ. [1] Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν. Ἡρα. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, [2] τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου; ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι. Ἡρα. Κατὰ τί, ὦ ἐμβρόντητε; [3] ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν, [4] ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας [5] μετείληφας; ΑΣΚ. [6] Ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡρακλες, ἐν τῇ Οἴτῃ καταφλεγεὶς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; Ἡρα. [7] Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ, καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος [8] ἐπιθήσειν τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος. ΑΣΚ. Εὖ λέγεις· ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν διεφθαρμένος τῷ σώματι, [9] τοῦ χιτῶνος, καὶ

---

1 παύσασθε—ἐρίζοντες, "cease quarrelling." *Vide* above, Tyrt. El. I. v. 11.

2 τουτονὶ, Att. for τούτον.

3 ἢ διότι, "(is it) because?" *Vide* ἢ.

4 ἃ μὴ θέμις ποιοῦντα, "doing things which are not lawful."

5 μετείληφας, Att. for μεταλέληφας, from μεταλαμβάνω.

6 ἐπιλέλησαι — καταφλεγεὶς, "have you forgot that you were burned?" *Vide* above, n. 1. When the Greeks use the participle like the infinitive, they omit the reciprocal pronoun before it, as before the infinitive. *Vide* above, p. 7. n. 3.

7 οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὃς —, "by no means have equal and similar lives been led by us (i. e. by you and by me), who," &c. *Vide* οὔκουν.

8 ἐπιθήσειν τῶν φαρμάκων. *Vide* above, Anac. Ode VI. v. 3.

9 τοῦ χιτῶνος. The poisoned garment is meant, which Hercules received from Deianira.

μετὰ τοῦτο, τοῦ πυρός· ἐγὼ δὲ [1] εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς, καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ· ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα. ΗΡΑ. [2] Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ, ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία· ἐπεὶ ἀράμενός σε, ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, [3] ὥστε μηδὲ τὸν Παιήονα ἰάσασθαί σε, τὸ κρανίον συντριβέντα. Ζ. Παύσασθε, φημι, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ συμποσίου· καίτοι εὔγνωμον, ὦ Ἡρακλες, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν, ἅτε καὶ πρότερον ἀποθανόντα.

ΔΙΑΛΟΓΟΣ σ'.

ΑΡΗΣ καὶ ΈΡΜΗΣ.

ΑΡ. Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπεροπτικὰ καὶ ἀπίθανα; ἢν ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω, ὑμεῖς δ' ἢν ἀποκρεμασθέντες κατασπᾶν βιάζησθέ με, μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δὲ ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα, καὶ τὴν θάλασσαν συναρτήσας μετεωριῶ· καὶ τἄλλα ὅσα καὶ σὺ [4] ἀκήκοας· ἐγὼ δὲ ὅτι μὲν [5] καθ' ἕν' ἁπάντων ἀμείνων, καὶ ἰσχυρότερός ἐστιν, [6] οὐκ ἂν ἀρνηθείην·

---

1 εἰ καὶ μηδὲν ἄλλο, "even if there were nothing else (about me)."

2 εἰ μὴ —, "unless you cease reproaching me."

3 ὥστε μηδὲ τὸν Παιήονα ἰάσασθαι (sup. ἂν) σε, τὸ κρανίον συντριβέντα, "so that not even Pæan could cure you, broken as to your skull." *Vide* above, p. 17. n. 4.

4 ἀκήκοας, Att. for ἠκόας, perf. mid. from ἀκούω. *Vide* above, p. 11. n. 1.

5 καθ' ἕν', "one by one."

6 οὐκ ἂν ἀρνηθείην, "I would not deny."

[1] ὁμοῦ δὲ τῶν τοσούτων ὑπερφέρειν ὡς μὴ καταβαρήσειν αὐτὸν, κἂν τὴν γῆν κἂν τὴν θάλασσαν προσλάβωμεν, οὐκ ἂν πεισθείην. ΕΡ. Εὐφήμει, ὦ Ἄρες· οὐ γὰρ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ καί τι κακὸν ἀπολαύσωμεν τῆς φλυαρίας. ΑΡ. Οἴει γάρ με πρὸς πάντας [2] ἂν ταῦτα εἰπεῖν, οὐχὶ δὲ πρὸς μόνον σὲ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; [3] ὃ γοῦν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τῆς ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ [4] οὐ πρὸ πολλοῦ, ὁπότε ὁ Ποσειδῶν, καὶ ἡ Ἥρα, καὶ ἡ Ἀθηνᾶ ἐπαναστάντες, ἐπεβούλευσαν [5] ξυνδῆσαι αὐτὸν λαβόντες, [6] ὡς παντοῖος ἦν δεδιὼς, καὶ ταῦτα τρεῖς ὄντας· καὶ εἰ μή γε ἡ Θέτις κατελέησασα ἐκάλεσεν αὐτῷ σύμμαχον Βριάρεων ἑκατόγχειρα ὄντα, [7] κἂν ἐδέδετο αὐτῷ κεραυνῷ καὶ βροντῇ· ταῦτα λογιζομένῳ [8] ἐπῆεί μοι γελᾷν ἐπὶ τῇ καλλιρημοσύνῃ αὐτοῦ. ΕΡ. Σιώπα· εὐφήμει· οὐ γὰρ ἀσφαλὲς οὔτε σοὶ λέγειν, οὔτε ἐμοὶ ἀκούειν τὰ τοιαῦτα.

ΔΙΑΛΟΓΟΣ ζ'.

ΜΕΝΕΛΑΟΣ καὶ ΠΡΩΤΕΥΣ.

ΜΕ. Ἀλλὰ ὕδωρ μέν σε γίνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, [9] ἐνάλιόν γε ὄντα, [10] καὶ δένδρον ἔτι φορητόν·

---

1 ὁμοῦ δὲ —. Supply αὐτὸν before ὑπερφέρειν, and ἡμᾶς before καταβαρήσειν.

2 ἂν ταῦτα εἰπεῖν, "would say these things."

3 ὅ, "what, that which."

4 οὐ πρὸ πολλοῦ, "not long ago."

5 ξυνδῆσαι, Att. for συν. thus below, ξυγγενόμενος, ξύνεισιν, &c. *Vide* σύν.

6 ὡς παντοῖος ἦν δεδιὼς, καὶ ταῦτα τρεῖς ὄντας, "how he tried every shift (*lit.* was a person of all sorts), being terrified, and that too though there were but three of them." For δεδιὼς, *vide* δείδω.

7 κἂν ἐδέδετο αὐτῷ κεραυνῷ καὶ βροντῇ, "he would even have been bound with his very thunder and lightning." The dative has often the sign "with," in concord with αὐτὸς, *ipse*.

8 ἐπῆεί μοι, "it came upon me."

9 ἐνάλιόν γε ὄντα, "being indeed a sea-god."

10 καὶ δένδρον —, "and that you become a tree, may also be admitted (*lit.* endured)."

καὶ ἐς λέοντα ὁπότε ἀλλαγείης, ὅμως οὐδὲ τοῦτο ἔξω πίστεως· εἰ δὲ καὶ πῦρ γίνεσθαι δυνατὸν ἐν τῇ θαλαττῇ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. ΠΡΩ. Μὴ θαυμάσῃς, ὦ Μενέλαε· γίγνομαι γάρ. ΜΕ. Εἶδον καὶ αὐτός· ἀλλά μοι δοκεῖς, [1] εἰρήσεται γὰρ πρός σε, γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τῶν ὁρώντων, [2] αὐτὸς οὐδὲν τοιοῦτο γιγνόμενος. ΠΡΩ. [3] Καί τις ἂν ἡ ἀπάτη ἐπὶ τῶν οὕτως ἐναργῶν γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ τὸ πρᾶγμα ψευδὲς μὲν εἶναι δοκεῖ, φαντασία δέ τις πρὸ τῶν ὀφθαλμῶν ἱσταμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκαί μοι, ὦ γενναιότατε, τὴν χεῖρα· εἴσῃ γάρ, εἰ ὁρῶμαι μόνον, ἢ καὶ [4] τὸ καίειν τότε μοι πρόσεστιν. ΜΕ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ. ΠΡΩ. Σὺ δέ μοι, Μενέλαε, δοκεῖς οὐδὲ πολύπουν ἑωρακέναι πώποτε, [5] οὐδ' ὃ πάσχει ὁ ἰχθὺς οὗτος εἰδέναι. ΜΕ. Ἀλλὰ τὸν μὲν πολύπουν εἶδον· ἃ πάσχει δὲ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. ΠΡΩ. [6] Ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ προσφὺς ἔχηται κατὰ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτὸν, καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν, ὡς ἂν λάθῃ τοὺς ἁλιέας, μὴ διαλλάττων, μηδὲ φανερὸς ὢν διὰ τοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ. ΜΕ. Φασὶ ταῦτα· [7] τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ. ΠΡΩ. Οὐκ

---

1 εἰρήσεται, fut. 1. mid. from ἐρέω. *Vide* above, p. 40. n. 6.

2 αὐτὸς —, "yourself becoming no such thing."

3 καί τις —, "and what deception could there be upon (the surface of) things so manifest?"

4 τὸ καίειν, "the power of burning." *Vide* above, p. 2. n. 6.

5 οὐδ' ὃ πάσχει —, "nor to know what appearances this fish is the subject of." *Vide* πάσχω.

6 ὁποίᾳ ἂν πέτρᾳ —, "to whatever rock it may adjust its hollow claws, having come to it, and cleaving to it may hold itself fast along its shaggy surface, to that rock," &c.

7 τὸ δὲ σὸν, "but your case."

οἶδα, ὦ Μενέλαε, τίνι ἂν ἄλλῳ [1] πιστεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν; ΜΕ. Ἰδὼν εἶδον· ἀλλὰ τὸ πρᾶγμα τεράστιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

ΔΙΑΛΟΓΟΣ ἡ.

ΑΠΟΛΛΩΝ καὶ ἙΡΜΗΣ.

ΑΠ. [2] Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστι τούτων, ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς. ἙΡ. Ὁ μὲν χθὲς ἡμῖν ξυγγενόμενος, ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης. ΑΠ. Πῶς διαγιγνώσκεις; ὅμοιοι γάρ. ἙΡ. Ὅτι οὗτος μέν, ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων· καὶ μάλιστα, [3] ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη, τῷ Ἰάσονι συμπλέων· [4] ἄτερος δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι, καὶ ἀπαθὴς [5] τὸ πρόσωπον. ΑΠ. [6] Ὤνησας, διδάξας τὰ γνωρίσματα· ἐπεὶ τάγε ἄλλα πάντα ἴσα, [7] τοῦ ᾠοῦ τὸ ἡμίτομον, καὶ ἀστὴρ ὑπεράνω, καὶ ἀκόντιον ἐν τῇ χειρὶ, καὶ ἵππος ἑκατέρῳ λευκός· ὥστε πολλάκις ἐγὼ [8] τὸν μὲν προσεῖπον Κάστορα, Πολυδεύκην ὄντα· τὸν δὲ τῷ

---

1 πιστεύσειας, Att. for πιστεύσαις, opt. 1. aor. act. In the opt. 1. aor. act. the Attics change the terminations αις, αι, αιεν, into ειας, ειε, ειαν; thus, for πιστεύσαις, πιστεύσαι, πιστεύσαιεν, they use πιστεύσειας, πιστεύσειε, πιστεύσειαν. *Vide* below, for examples.

2 ἔχεις μοι εἰπεῖν, "can you tell me?" We say in English, "I have to tell you."

3 ὁπόσα ὑπὸ —, "as many wounds as he got by (the hand of) Bebrycian Amycus."

4 ἄτερος for ὁ ἕτερος.

5 τὸ πρόσωπον, "as to," &c.

6 ὤνησας, "you have done me a favour." *Vide* ὄνημι.

7 τοῦ ᾠοῦ τὸ ἡμίτομον, "the half-cut of the egg:" an allusion to their caps, which resembled the shape of the egg (from which they were hatched) cut into two.

8 τὸν μὲν—τὸν δὲ, "the one—the other."

τοῦ Πολυδεύκους ὀνόματι· ἀτὰρ εἶπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ' [1] ἐξ ἡμισείας, ἄρτι μὲν νεκρὸς, ἄρτι δὲ θεός ἐστιν ἄτερος αὐτῶν. ΈΡ. Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθανάτον εἶναι, [2] ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν. ΑΠ. [3] Οὐ ξυνετὴν, ὦ Ἑρμῆ, τὴν νομὴν, εἴγε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα· πῶς γὰρ, ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; πλὴν ἀλλὰ, ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις, παιδοτρίβης ἄριστος ὤν, ἡ δὲ Ἄρτεμις μαιεύεται, καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην, ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην· οὗτοι δὲ, τί ποιήσουσιν ἡμῖν; ἢ ἀργοὶ εὐωχήσονται, τηλικοῦτοι ὄντες; ΈΡ. Οὐδαμῶς· ἀλλὰ [4] προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι, καὶ καθιππεύειν δεῖ τὸ πελάγος, καὶ ἄν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον, σώζειν τοὺς ἐμπλέοντας. ΑΠ. Ἀγαθὴν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

ΔΙΑΛΟΓΟΣ Θ'.

ΈΡΜΗΣ καὶ ΜΑΙΑ.

ΈΡ. Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; ΜΑ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν. ΈΡ. [5] Τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων, καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος;

---

1 ἐξ ἡμισείας —, "by halves, now a shade, now a god, each of them is."

2 ἐνείμαντο, "they distributed among themselves;" aor. 1. mid. *Vide* νέμω.

3 οὐ ξυνετὴν — τὴν νομὴν (ἐνείμαντο, scil.), "not a wise distribution;" ξυνετὴν, Att. for συν. *Vide* above, p. 46. n. 5.

4 προστέτακται αὐτοῖν, "it has been appointed to those two."

5 τί μὴ λέγω, "why may I not mention it?" λέγω, pres. subj.

ἔωθεν μὲν γὰρ [1] ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ· καὶ διαστρώσαντα τὴν ἐκκλησίαν, εἶτα εὐθετήσαντα ἕκαστα, παρεστάναι τῷ Διΐ, καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα· καὶ ἐπανελθόντα ἔτι κεκονισμένον παρατιθέναι τὴν ἀμβροσίαν· [2] πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον· [3] τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν, καὶ νεκροπομπὸν εἶναι, καὶ παρεστάναι τῷ δικαστηρίῳ· οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι, [4] κἂν ταῖς ἐκκλησίαις κηρύττειν, καὶ ῥήτορας ἐκδιδάσκειν, [5] ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον· καίτοι τὰ μὲν τῆς Λήδας τέκνα, [6] παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ καὶ ἐν ᾅδου εἰσίν· ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν καὶ ταῦτα κἀκεῖνα ποιεῖν ἀναγκαῖον· καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης υἱοὶ, ἐκ γυναικῶν δυστήνων γενόμενοι, εὐωχοῦνται ἀφρόντιδες· [7] ὁ δὲ Μαῖας τῆς Ἄτλαντος διακονοῦμαι αὐτοῖς· καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Κάδμου θυγατρὸς, [8] ἐφ' ἣν πέπομφέ με ὀψόμενον ὅ, τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα, πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην· εἶτ' ἐκεῖθεν ἐς Βοιωτίαν, φησὶν, ἐλθὼν, ἐν παρόδῳ τὴν Ἀντίοπην ἰδέ· καὶ [9] ὅλως ἀπηγόρευκα

---

1 ἐξαναστάντα. Sup. ἐμε.

2 πρὶν δὲ — ἥκειν, "before he came." πρὶν is very often put with the infinitive and an accusative.

3 τὸ δὲ πάντων —, "and the most terrible of all, is, that I alone among the rest do not even sleep in the night."

4 κἂν for καὶ ἐν.

5 ἀλλ' ἔτι (sup. δεῖ) καὶ —, "but it is also necessary that I, distracted (as I am), manage the affairs of the dead."

6 παρ' ἡμέραν, "every other day (*lit.* except a day)." *Vide* παρά.

7 ὁ δὲ —, "but I, the son of Maia, the daughter of Atlas."

8 ἐφ' ἣν —, "to whom he sent me to see (*lit.* about to see);" πέπομφε, Att. for πέπεμφε. *Vide* πέμπω.

9 ὅλως ἀπηγόρευκα, "I am quite exhausted." *Vide* ἀπαγορεύω.

ἤδη· εἰ γοῦν μοι δυνατὸν ἦν, ἡδέως [1] ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες. ΜΑ. Ἐᾶ ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ, νεανίαν ὄντα· καὶ νῦν, ὥσπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβοις· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

ΛΟΥΚΙΑΝΟΥ

ΔΙΑΛΟΓΟΙ ΝΕΚΡΩΝ.

ΔΙΑΛΟΓΟΣ α'.

ΚΝΗΜΩΝ, ΔΑΜΙΠΠΟΣ.

ΚΝ. [2] Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, Ὁ νεβρὸς τὸν λέοντα — ΔΑ. [3] Τί ἀγανακτεῖς, ὦ Κνήμων; ΚΝ. Πυνθάνῃ ὅ, τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, [4] οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ, παραλιπών. ΔΑ. Πῶς τοῦτ' ἐγένετο; ΚΝ. Ἑρμόλαον τὸν πάνυ πλούσιον, ἄτεκνον ὄντα, ἐθεράπευον [5] ἐπὶ θανάτῳ· κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο· ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι,

---

1 ἂν ἠξίωσα πεπρᾶσθαι, "I would condescend to be sold." *Vide* πιπράσκω.

2 τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, Ὁ νεβρὸς τὸν λέοντα (ἐνίκησε), "this is that of the proverb (realized), the fawn has got the better of the lion."

3 τί — ὅ, τι. Supply διὰ to each of them.

4 οὓς ἐβουλόμην ἂν —, "leaving aside those whom I should have most wished to possess my goods."

5 ἐπὶ θανάτῳ, "(counting) upon his death."

[1] θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος [2] ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. ΔΑ. Τί οὖν δὴ ἐκεῖνος; ΚΝ. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος· καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπερ τις λάβραξ, καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. ΔΑ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα· ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. ΚΝ. [3] Ἔοικα· οἰμώζω τοιγαροῦν.

ΔΙΑΛΟΓΟΣ β'.

ΜΕΝΙΠΠΟΣ καὶ ἙΡΜΗΣ.

ΜΕ. Ποῦ δὲ [4] οἱ καλοί εἰσιν, ἢ αἱ καλαὶ, ὦ Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα. ἙΡ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν, [5] κατ' ἐκεῖνο αὐτὸ, ἀπόβλεψον [6] ὡς ἐπὶ τὰ δεξιὰ, ἔνθα Ὑάκινθός τέ ἐστι, καὶ ὁ Νάρκισσος, καὶ Νιρεὺς, καὶ Ἀχιλλεὺς, καὶ Τυρὼ, καὶ Ἑλένη, καὶ Λήδα, καὶ ὅλως, τὰ ἀρχαῖα κάλλη πάντα. ΜΕ. Οστᾶ μόνον ὁρῶ, καὶ κρανία [7] τῶν σαρκῶν γυμνὰ, ὅμοια τὰ πολλά. ἙΡ. Καὶ μὴν ἐκεῖνά ἐστιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι, τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν. ΜΕ. Ὅμως τὴν Ἑλένην μοι δείξον· οὐ γὰρ ἂν διαγνοίην

---

1 θέσθαι διαθήκας —, "to put my will into publicity." *Vide* Anac. Ode II. v. 5.

2 ζηλώσειε — πράξειε. *Vide* above, p. 48. n. 1.

3 ἔοικα, "I appear so." *Vide* εἴκω.

4 οἱ καλοί — αἱ καλαί, "the beautiful men—the beautiful women."

5 κατ' ἐκεῖνο αὐτὸ, "as to that same thing."

6 ὡς ἐπὶ τὰ δεξιὰ, "as it were to the right."

7 τῶν σαρκῶν γυμνὰ, "bare (i.e. destitute) of flesh."

ἔγαγε. ΈΡ. [1] Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν ΜΕ. Εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι, καὶ τοσαῦται πόλεις [2] ἀνάστατοι γεγόνασιν; ΈΡ. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα· [3] ἔφης γὰρ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι,—

Τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

ἐπεὶ καὶ τὰ ἄνθη, ξηρὰ ὄντα, εἴ τις βλέποι [4] ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δηλονότι αὐτῷ δόξει· ὅτε μέντοι ἀνθεῖ, καὶ ἔχει τὴν χροιὰν, κάλλιστά ἐστιν. ΜΕ. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, [5] εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγοχρονίου, καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες. ΈΡ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι· ὥστε ἐπιλεξάμενος τόπον, [6] ἔνθα, ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν· ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

ΔΙΑΛΟΓΟΣ γ'.

ΧΑΡΩΝ, ΜΕΝΙΠΠΟΣ, ΈΡΜΗΣ.

ΧΑ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμία. ΜΕ. [7] Βόα, εἰ τοῦτό σοι ἥδιον, ὦ Χάρων. ΧΑ. Ἀπόδος, φημὶ, [8] ἀνθ' ὧν σε διεπορθμευσάμην. ΜΕ. [9] Οὐκ ἂν

---

1 τουτὶ, Att. for τοῦτο.

2 ἀνάστατοι γεγόνασιν, "have been overturned." *Vide* γίνομαι.

3 ἔφης γὰρ ἂν καὶ σὺ, "for even you would have said."

4 ἀποβεβληκότα. Sup. αὐτά.

5 εἰ μὴ συνίεσαν — πονοῦντες, "if they did not understand that they were labouring." *Vide* above, Tyrt. El. I. v. 11.; also p. 44. n. 6.

6 ἔνθα, ἂν ἐθέλῃς, κεῖσο, "there, if you choose, lie."

7 βόα, imperat. contr. for βόαε.

8 (τὰ πορθμία) ἀνθ' ὧν, "the fare for which."

9 οὐκ ἂν λάβοις, "you could not receive it."

λάβοις παρὰ τοῦ μὴ ἔχοντος. ΧΑ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕ. Εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα· ἐγὼ δὲ οὐκ ἔχω. ΧΑ. Καὶ μὴν ἄγξω σε, νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς. ΜΕ. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον. ΧΑ. Μάτην οὖν [1] ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν; ΜΕ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι. ΕΡ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. ΧΑ. Οὐκ ἀποστήσομαί σου. ΜΕ. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε· πλὴν ἀλλ', [2] ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις; ΧΑ. [3] Σὺ δ' οὐκ ἤδεις ὡς κομίζειν δέον; ΜΕ. Ἤδειν μέν, οὐκ εἶχον δέ· τί οὖν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑ. Μόνος οὖν αὐχήσεις προῖκα [4] πεπλευκέναι; ΜΕ. Οὐ προῖκα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. ΧΑ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμία. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ γὰρ θέμις ἄλλως γενέσθαι. ΜΕ. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. ΧΑ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς [5] ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω. ΜΕ. Μὴ [6] ἐνόχλει οὖν. ΧΑ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. ΜΕ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. ΧΑ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει [7] παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν τῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων; ΕΡ. Ἀγνοεῖς, ὦ Χάρων,

---

1 ἔσῃ πεπλευκὼς, "shall you have sailed." The participle is often put with the substantive verb in circumlocutions for simple tenses.

2 ὅ γε μὴ ἔχω, "what I have not."

3 σὺ δ' οὐκ ἤδεις —, "but did you not know how (that) it was necessary to bring it?" ἤδεις, by sync. Att. for εἰδήκεις, from εἰδέω.

4 πεπλευκέναι, "to have sailed."

5 ἐπὶ τούτῳ, "on account of this." *Vide* ἐπί.

6 ἐνόχλει, imperat. contr. for ἐνόχλεε.

7 παρὰ, "during." *Vide* παρά.

ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς,[1] οὐδενὸς αὐτῷ μέλει· οὗτός ἐστιν ὁ Μένιππος. ΧΑ. Καὶ μὴν[2] ἄν σε λάβω ποτέ. ΜΕ. Ἂν λάβῃς, ὦ βέλτιστε·[3] δὶς δὲ οὐκ ἂν λάβοις.

ΔΙΑΛΟΓΟΣ δ'.

ΚΡΟΙΣΟΣ, ΠΛΟΥΤΩΝ, ΜΕΝΙΠΠΟΣ, ΜΙΔΑΣ, ΣΑΡΔΑΝΑΠΑΛΟΣ.

ΚΡΟΙ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛΟΥ. Τί δ' ὑμᾶς δεινὸν[4] ἐργάζεται, ὁμόνεκρος ὤν; ΚΡΟΙ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν, καὶ στένωμεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν[5] οὗτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς· καὶ ὅλως, λυπηρός ἐστι. ΠΛΟΥ. Τί ταῦτα φασὶν, ὦ Μένιππε; ΜΕΝ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς, ἀγεννεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ[6] ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ περιέχονται τῶν ἄνω·[7] χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛΟΥ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι. ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

---

1 οὐδενὸς (for καὶ οὐδενὸς) αὐτῷ μέλει, "and he cares (care is to him) about nothing."

2 ἄν σε λάβω ποτὲ, "if ever I catch you."

3 δὶς δὲ οὐκ ἂν λάβοις, "but you could not catch me twice."

4 ἐργάζεται. Verbs of doing, speaking, taking away, &c. govern a double accusative.

5 οὗτοσὶ, Att. for οὗτος. Sup. μεμνημένος.

6 ἀπέχρησε. *Vide* ἀποχρῆ.

7 χαίρω — ἀνιῶν, "I rejoice in vexing." *Vide* above, Tyrt. El. I. v. 4. latter part of the note.

ΠΛΟΥ. Οὐδαμῶς· ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. ΜΕΝ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, [1] ὡς οὐδὲ παυσομένου μου· [2] ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω, ἀνιῶν, καὶ κατᾴδων, καὶ καταγελῶν. ΚΡΟΙ. Ταῦτα οὐχ' ὕβρις; ΜΕΝ. Οὔκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τοπαράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. ΚΡΟΙ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. ΜΙΔ. Ὅσου μὲν [3] ἐγὼ χρυσοῦ. ΣΑΡ. Ὅσης δ' ἐγὼ τρυφῆς. ΜΕΝ. Εὖγε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς· ἐγὼ δὲ, [4] τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς [5] ἐπᾳδόμενον.

ΔΙΑΛΟΓΟΣ ε'.

ΖΗΝΟΦΑΝΤΗΣ, ΚΑΛΛΙΔΗΜΙΔΗΣ.

ΖΗ. Σὺ δὲ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; [6] ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν, ἀπεπνίγην, οἶσθα· παρῆς γὰρ ἀποθνήσκοντί μοι. ΚΑΛ. Παρῆν, ὦ Ζηνόφαντες· [7] τὸ δ' ἐμὸν παράδοξόν τι ἐγένετο· οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα. ΖΗ. Τὸν ἄτεκνον, τὸν πλούσιον, [8] ᾧ σε

---

1 ὡς οὐδὲ παυσομένου μου, "that I will never cease (*lit.* as if I being never about to cease)."

2 ἔνθα — ἂν ἴητε, "wheresoever you may go." ἂν, after relative pronouns and relative adverbs, is equivalent to the Latin *cunque*.

3 ἐγώ. Sup. ἀφῃρημένος.

4 τὸ, "the (old saying)."

5 ἐπᾳδόμενον, "if sung." *Vide* above, Tyrt. El. I. v. 4. latter part of the note.

6 ἐγὼ — οἶσθα. Construe, γὰρ οἶσθα ὅτι ἐγὼ μέν.

7 τὸ δ' ἐμόν. *Vide* above, p. 47. n. 7.

8 ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα, "with whom I knew that you associated (*lit.* were) very much." *Vide* Anac. Ode I. v. 10.; also Tyrt. El. I. v. 11.

τὰ πολλὰ ἥδειν συνόντα; ΚΑΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενος [1] ἐπ' ἐμοὶ τεθνήξεσθαι· ἐπεὶ δὲ τὸ πρᾶγμα [2] ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, [3] ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, (πίνει δ' ἐπιεικῶς), [4] ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. ΖΗ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. ΚΑΛ. Ἐπεὶ τοίνυν λουσάμενοι ἤκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, [5] τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν· εἶτα [6] ὁ μὲν ἔπινεν· ἐγὼ δὲ αὐτίκα [7] μάλα ἐκτάδην ἐκείμην ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός· τί τοῦτο; γελᾷς, ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾷν. ΖΗ. Ἀστεῖα γὰρ, ὦ Καλλιδημίδη, πέπονθας· ὁ γέρων δὲ, τί πρὸς ταῦτα; ΚΑΛ. Πρῶτον μὲν ὑπεταράχθη [8] πρὸς τὸ αἰφνίδιον· εἶτα συνεὶς, οἶμαι, τὸ γεγενημένον, [9] ἐγέλα καὶ αὐτὸς οἷά γε ὁ οἰνοχόος εἴργασται. ΖΗ. Πλὴν ἀλλ' οὐδὲ σὲ [10] τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι· ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ [11] ὀλίγῳ βραδύτερος ἦν.

---

1 ἐπ' ἐμοὶ, "for (the advantage of) me."

2 ἐς μήκιστον. Sup. χρόνον.

3 ἐπειδὰν τάχιστα, "as soon as."

4 ζωρότερον. Sup. οἶνον.

5 τὴν μὲν—τὴν δ' ἑτέραν, "the one—the other."

6 ὁ μὲν, "he indeed." *Vide* above, p. 3. n. 5.

7 μάλα ἐκτάδην, "very much at length; at my full length."

8 πρὸς τὸ αἰφνίδιον, "at the sudden event."

9 ἐγέλα — οἷά γε, "laughed at such things as."

10 τὴν ἐπίτομον — τραπέσθαι, "to turn yourself the short cut."

11 ὀλίγῳ, "by a little." Greek writers often use such datives as ὀλίγῳ, βράχει, *paulo*, μακρῷ, *longe*, πολλῷ, *multo*, with comparatives and superlatives.

ΔΙΑΛΟΓΟΣ σ'.

ΠΛΟΥΤΩΝ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΠΕΡΣΕΦΟΝΗ.

ΠΡΩ. Ὦ δέσποτα, καὶ βασιλεῦ, καὶ ἡμέτερε Ζεῦ, καὶ σύ, Δήμητρος θύγατερ, μὴ ὑπερίδητε δέησιν ἐρωτικήν. ΠΛΟΥ. Σὺ δὲ τίνος δέῃ παρ' ἡμῶν; ἢ [1] τίς ὢν τυγχάνεις; ΠΡΩ. Εἰμὶ μὲν Πρωτεσίλαος [2] ὁ Ἰφίκλου, Φυλάκιος, συστρατιώτης τῶν Ἀχαιῶν, καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἰλίῳ· δέομαι δὲ, ἀφεθεὶς [3] πρὸς ὀλίγον, ἀναβιῶναι πάλιν. ΠΛΟΥ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι· πλὴν οὐδεὶς [4] ἂν αὐτῶν τύχῃ. ΠΡΩ. Ἀλλ' οὐ [5] τοῦ ζῆν, Ἀϊδωνεῦ, ἐρῶ ἔγωγε, τῆς γυναικὸς δὲ, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν, ᾠχόμην ἀποπλέων· εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος· ὁ οὖν ἔρως τῆς γυναικὸς οὐ μετρίως ἀποκναίει με, ὦ δέσποτα· καὶ βούλομαι, [6] κἂν πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ, καταβῆναι πάλιν. ΠΛΟΥ. Οὐκ ἔπιες, ὦ Πρωτεσίλαε, τὸ Λήθης ὕδωρ; ΠΡΩ. Καὶ μάλα, ὦ δέσποτα· τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν. ΠΛΟΥ. Οὐκοῦν περιμεῖνον· ἀφίξεται γὰρ ἐκείνη ποτὲ, καὶ οὐδέν σε ἀνελθεῖν δεήσει. ΠΡΩ. Ἀλλ' οὐ φέρω τὴν διατριβὴν, ὦ Πλούτων· ἠράσθης δὲ καὶ αὐτὸς ἤδη, καὶ οἶσθα οἷον [7] τὸ ἐρᾶν ἐστίν. ΠΛΟΥ. Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι, μετ' ὀλίγον [8] τὰ αὐτὰ ὀδυρούμενον; ΠΡΩ. Οἶμαι πείσειν κἀκεῖνην ἀκολουθεῖν παρ' ὑμᾶς· ὥστε ἀνθ' ἑνὸς, δύο νεκροὺς

---

1 τίς ὢν τυγχάνεις; "who do you happen to be?" *Vide* above, p. 41. n. 9.

2 ὁ. Sup. υἱός.

3 πρὸς ὀλίγον, "for a little."

4 ἂν — τύχῃ, "can obtain it."

5 τοῦ ζῆν. *Vide* above, p. 2. n. 6.

6 κἂν (for καὶ ἂν) πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ, "having been seen by her, even if (it were) for a little."

7 τὸ ἐρᾶν. *Vide* above, p. 2. n. 6.

8 τὰ αὐτὰ ὀδυρούμενον, "about to make the same lamentations."

λήψῃ μετ' ὀλίγον. ΠΛΟΥ. Οὐ θέμις γενέσθαι ταῦτα, οὐδὲ ἐγένετο πώποτε. ΠΡΩ. Ἀναμνήσω σε, ὦ Πλούτων· Ὀρφεῖ γὰρ, δι' αὐτὴν ταύτην τὴν αἰτίαν, τὴν Εὐρυδίκην παρέδοτε, καὶ τὴν ὁμογενῆ μοῦ Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι. ΠΛΟΥ. Θελήσεις δὲ, οὕτω κρανίον γυμνὸν ὤν, καὶ ἄμορφον, τῇ καλῇ σου ἐκείνῃ νύμφῃ φανῆναι; πῶς δὲ κἀκείνη προσόψεταί σε, [1] οὐδὲ διαγνῶναι δυναμένη; φοβήσεται γὰρ, εὖ οἶδα, καὶ φεύξεταί σε· καὶ μάτην [2] ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς. ΠΕΡ. Οὐκοῦν, ὦ ἀνὲρ, σὺ καὶ τοῦτ' ἴασαι, καὶ τὸν Ἑρμῆν κελεύσον, ἐπειδὰν ἐν τῷ φωτὶ ἤδη ὁ Πρωτεσίλαος ᾖ, καθικόμενον [3] ἐν τῇ ῥάβδῳ, νεανίαν εὐθὺς καλὸν ἀπεργάσασθαι αὐτὸν, οἷος ἦν ἐκ τοῦ παστοῦ. ΠΛΟΥ. Ἐπεὶ Περσεφόνῃ συδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις, ποίησον νυμφίον· σὺ δὲ [4] μέμνησο μίαν λαβὼν ἡμέραν.

ΔΙΑΛΟΓΟΣ ζ'.

ΜΕΝΙΠΠΟΣ καὶ ΤΑΝΤΑΛΟΣ.

ΜΕ. Τί κλάεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, ἐπὶ τῇ λίμνῃ ἑστώς; ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους. ΜΕ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δὶ ἀρυσάμενος [5] κοίλῃ τῇ χειρί; ΤΑΝ. Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με· ἢν δέ ποτε καὶ ἀρύσωμαι, καὶ προσενέγκω τῷ στόματι, [6] οὐ

---

1 οὐδὲ, "not even."

2 ἔσῃ — ἀνεληλυθὼς, "you shall have ascended." *Vide* above, p. 54. n. 1.

3 ἐν, "with." *Vide* ἐν.

4 μέμνησο — λαβὼν. *Vide* above, Tyrt. El. I. v. 11.

5 κοίλῃ τῇ χειρί, "in the hollow (of the) hand."

6 οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ, "I have no sooner wetted the tip of my lip than," &c. *Vide* above, p. 41. n. 9.

φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν, οὐκ οἶδ' ὅπως, αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. ΜΕ. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε· ἀτὰρ εἰπέ μοι, [1] τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις· ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ ποῦ τέθαπται, ὅπερ καὶ [2] πεινῆν, καὶ διψῆν ἐδύνατο· σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ [3] διψῴης, ἢ πίνοις; ΤΑΝ. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, [4] τὸ διψῆν μου τὴν ψυχὴν ὡς σῶμα οὖσαν. ΜΕ. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ φῂς τῷ δίψει κολάζεσθαι· τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ' ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον ᾅδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ. Ὀρθῶς μὲν λέγεις· καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν μηδὲν δεόμενον. ΜΕ. Ληρεῖς, ὦ Τάνταλε, καὶ [5] ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου νὴ Δία, ὅστις [6] τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. ΤΑΝ. Οὐδὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, [7] γένοιτό μοι μόνον. ΜΕ. Θάῤῥει, ὦ Τάνταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος [8] πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· καίτοι οὐ πάντες ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

---

1 τί γὰρ καὶ δέῃ; "what need now have you?"

2 πεινῆν, καὶ διψῆν, for πεινᾶν καὶ διψᾶν, contr. for πεινάειν καὶ διψάειν. In contractions of the infinitive —άειν, the ᾱ is usually changed into ῆ.

3 διψῴης. *Vide* above, Tyrt. El. I. v. 4.

4 τὸ διψῆν μου τὴν ψυχὴν, "that my soul thirsts."

5 ὡς ἀληθῶς, "in good truth." ὡς, with adverbs, adds emphasis to them.

6 τοὐναντίον (for τὸ ἐν.) — πέπονθας, "are the subject of a suffering the opposite." *Vide* πάσχω.

7 γένοιτό μοι μόνον, "would it were but (granted) to me." The optative, when it stands independent, often expresses a wish.

8 πίεται. In fut. 2. mid. for πιοῦμαι, —ῇ, —εῖται, are used πίομαι, —ῃ, —εται.

ΔΙΑΛΟΓΟΣ ή.

ΑΙΑΚΟΣ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΜΕΝΕΛΑΟΣ, ΠΑΡΙΣ.

ΑΙ. Τί ἄγχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προσπέσων; ΠΡΩ. Ὅτι διὰ ταύτην, ὦ Αἰακὲ, ἀπέθανον, ἡμιτελῆ μὲν τὸν δόμον καταλιπὼν, χήραν δὲ τὴν νεόγαμον γυναῖκα. ΑΙ. [1] Αἰτιῶ τοίνυν τὸν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ἐπὶ Τροίαν ἤγαγεν. ΠΡΩ. Εὖ λέγεις· ἐκεῖνόν [2] μοι αἰτιατέον. ΜΕΝ. Οὐκ ἐμὲ, ὦ βέλτιστε, ἀλλὰ [3] δικαιότερον τὸν Πάριν, ὅς ἐμοῦ τοῦ ξένου τὴν γυναῖκα [4] παρὰ πάντα τὰ δίκαια ᾤχετο ἁρπάσας· οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄγχεσθαι, τοσούτοις θανάτου αἴτιος γεγενημένος. ΠΡΩ. Ἄμεινον οὕτω· σε τοιγαροῦν, ὦ [5] δύσπαρι, οὐκ ἀφήσω ποτε ἀπὸ τῶν χειρῶν. ΠΑ. [6] Ἄδικα ποιῶν, ὦ Πρωτεσίλαε, καὶ ταῦτα, ὁμότεχνον ὄντα σοι, ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι, καὶ τῷ αὐτῷ θεῷ κατέσχημαι· οἶσθα δὲ ὡς ἀκούσιόν τι ἐστι, καί τις ἡμᾶς δαίμων ἄγει, ἔνθα ἂν ἐθέλῃ· καὶ ἀδυνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ. ΠΡΩ. Εὖ λέγεις· [7] εἴθε οὖν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν. ΑΙ. Ἐγώ σοι καὶ περὶ τοῦ Ἔρωτος ἀποκρινοῦμαι τὰ δίκαια· φήσει γὰρ [8] αὐτὸς μὲν τοῦ ἐρᾶν τῷ Πάριδι ἴσως γεγενῆσθαι αιτιος· τοῦ θανάτου

---

1 αἰτιῶ, imperat. contr. for αἰτιάου. *Vide* αἰτιάομαι.

2 μοι αἰτιατέον, "I must blame."

3 δικαιότερον. Sup. αἰτιᾶσθαι.

4 παρὰ, "beyond." *Vide* παρά.

5 δύσπαρι, "unlucky Paris." *Vide* Hom. Iliad, γ'. 39.

6 ἄδικα ποιῶν,—καὶ ταῦτα (sup. ἐμε), "doing injustice, and that too, to me." *Vide* above, p. 55. n. 4.

7 εἴθε — δυνατὸν ἦν, "O if it were possible!"

8 αὐτὸς — γεγενῆσθαι αἴτιος, "that he was the cause." When

δέ σοι οὐδένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτὸν, ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικὸς, ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, οὕτω φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων, δόξης ἐρασθεὶς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες. ΠΡΩ. Οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι, ὦ Αἰακὲ, ἀποκρινοῦμαι δικαιότερα; οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ μοῖρα, καὶ [1] τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι. ΑΙ. Ὀρθῶς· τί οὖν τούτους αἰτιᾷ;

ΔΙΑΛΟΓΟΣ Θ'.

ΔΙΟΓΕΝΗΣ καὶ ΑΛΕΞΑΝΔΡΟΣ.

ΔΙΟ. Τί τοῦτο, ὦ Ἀλέξανδρε, καὶ σὺ τέθνηκας, ὥσπερ καὶ ἡμεῖς ἅπαντες; ΑΛΕ. Ὁρᾷς, ὦ Διόγενες· οὐ παράδοξον δὲ, εἰ, ἄνθρωπος ὤν, ἀπέθανον. ΔΙΟ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτοῦ σε εἶναι υἱόν· σὺ δὲ [2] Φιλίππου ἄρα ἦσθα; ΑΛΕ. Φιλίππου δηλαδή· οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙΟ. Καὶ μὲν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ· εἶτα οὕτω σε τεχθῆναι· τὸν δὲ Φίλιππον ἐξηπατῆσθαι οἰόμενον πατέρα σου εἶναι. ΑΛΕ. Κἀγὼ ταῦτα ἤκουον, ὥσπερ συ· νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. ΔΙΟ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον,

---

the infinitive has a subject of its own, it is put in the accusative, as in Latin; but when its subject coincides with that of the preceding verb, it retains the case which it had with that verb.—Thus, αὐτὸς and αἴτιος are here in the nom. and a little after, οὐδένα ἄλλον (sup. γεγενῆσθαι αἰτιὸν), is in the accusative. αὐτὸς is here emphatic, being opposed to ἄλλον, else it had been omitted. *Vide* above, p. 7. n. 3.

1 τὸ — ἐπικεκλῶσθαι, "its being ordained."

2 Φιλίππου, "Phillip's (son)."

θεὸν εἶναί σε νομίζοντες·—ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛΕ. Οὐκ οἶδα, ὦ Διόγενες· [1] οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκα τὸν δακτύλιον ἐπέδωκα·—πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες; ΔΙΟ. Τί γὰρ ἄλλο, [2] ἢ ἀνεμνήσθην, [3] οἷα ἐποίει ἡ Ἑλλὰς ἄρτι σε παρειληφότα τὴν ἀρχὴν, κολακεύοντες, καὶ προστάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς βαρβάρους· ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες, καὶ [4] νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς δράκοντος υἱῷ; ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛΕ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι, τρίτην ταύτην ἡμέραν· ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἤν ποτε [5] ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν [6] ἐν ποσὶν, ἐς Αἴγυπτον ἀπαγαγών με θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. ΔΙΟ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν [7] ἐν ἅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα, Ἄννουβιν, ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μὴν, ὦ θειότατε, μὴ ἐλπίσῃς· οὐ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ ἐς [8] τὸ εἴσω τοῦ στομίου παρελθόντων· οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδ' ὁ Κέρβερος εὐκαταφρόνητος· ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς [9] ἀπολιπὼν, ἀφῖξαι, σωματοφύλακας, καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη

---

1 οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι, "for I was not beforehand (with death), to arrange any thing else."

2 ἤ. Sup. ὅτι.

3 οἷα ἐποίει — σε παρειληφότα. *Vide* above, p. 55. n. 4. ειληφότα, Att. for λελ. from λαμβάνω. *Vide* above, p. 44. n. 5.

4 νεὼς, Att. for νάους. *Vide* νεώς.

5 ἀγάγῃ σχολὴν, "he enjoy leisure."

6 ἐν ποσίν, "among his feet; that entangle him."

7 ἐν. Sup. δόμῳ.

8 τὸ εἴσω, "the interior." The article is often joined to adverbs in the sense of adjectives.

9 ἀπολιπὼν, ἀφῖξαι, "having left, you came; i. e. you lef when you came."

προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, καὶ [1] τὸ ἐπίσημον εἶναι ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ [2] τὴν κεφαλὴν, [3] πορφυρίδα ἐμπεπορπημένον· οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα;—τί δακρύεις, ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης; ΑΛΕ. Σοφὸς! ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν! ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ἤτησε παρ' ἐμοῦ, οἷα δὲ ἐπέστελλεν· ὡς δὲ κατεχρῆτό [4] μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ θωπεύων καὶ ἐπαινῶν, ἄρτι μὲν [5] ἐς τὸ κάλλος, [6] ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸν πλοῦτον· καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης· πλὴν ἀλλὰ [7] τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς, ἃ κατηριθμήσω [8] μικρῷ γε ἔμπροσθεν. ΔΙΟ. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι, ἐπεὶ

---

1 τὸ ἐπίσημον εἶναι, "the (or, your) being conspicuous."

2 τὴν, "as to the."

3 πορφυρίδα ἐμπεπορπημένον, "having a purple garment clasped on you." The accusative is often put with verbs in the passive, which in the active took the same accusative, to denote the *action*, together with an accusative or dative of the *receiver* of the action, which last case becomes the subject to the passive verb. Thus, if you change here the participle passive into the participle active, you will have the phrase, σεαυτῷ πορφυρίδα ἐμπεπορπηκότα, therefore in the passive, (σεαυτὸν) πορφυρίδα ἐμπεπορπημένον.

4 μου τῇ — φιλοτιμίᾳ, "my emulation."

5 ἐς, "with regard to." *Vide* ἐς.

6 ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ (for τοῦ ἀγαθοῦ), "as if this too were a part of good." ὡς, "as if, since," is often put with the participle absolute, both in the nominative neuter, in the genitive, and in the accusative. *Vide* example above, p. 56. n. 1.

7 τοῦτό γε ἀπολέλαυκα, "I have reaped this advantage from."

8 μικρῷ γε ἔμπροσθεν, "before by a little; a little before."

ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται· σὺ δὲ [1] κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· οὕτω γὰρ [2] ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος· καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοῦς ἐπί σε ὁρμῶντας, ὡς διασπάσαιντο καὶ ἀμύναιντό σε, [3] ὧν ἔδρασας αὐτούς· ὥστε [4] τὴν ἑτέραν σὺ ταύτην βάδιζε· καὶ πῖνε πολλάκις, ὡς ἔφην.

ΔΙΑΛΟΓΟΣ ι'.

Ἑρμῆς, Χαρών.

Ἑρ. Λογισώμεθα, ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. Χα. Λογιτώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὁρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. Ἑρ. Ἀγκυραν [5] ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν. Χα. [6] Πολλοῦ λέγεις. Ἑρ. Νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν. Χα. [7] Τίθει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. Ἑρ. Καὶ ἀκέστραν [8] ὑπὲρ τοῦ ἱστίου, πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

---

1 κἂν — πίε. When the author wrote κἂν, he probably meant to use the optative πίοις, and then the phrase would have been translated, "you should even drink;" but feeling that his meaning would not come out with sufficient force in this way, he suddenly shifts the mood to the imperative.

2 ἂν παύσῃ — ἀνιώμενος, "you may cease being grieved."

3 ὧν (sup. ἀντὶ ἐκείνων), "in return for what things." The case of the relative is often determined, not by the verb following, but by the antecedent noun or pronoun, expressed or understood. Otherwise, ἔδρασας governs two accusatives. *Vide* above, p. 55. n. 4.

4 τήν. Sup. ὁδόν.

5 ἐντειλαμένῳ. Sup. σοι.

6 πολλοῦ (sup. ἀντί), "for much; for a great price."

7 τίθει, contr. for τίθεε, imperat. from τιθέω, in use τίθημι.

8 ὑπὲρ, "for." *Vide* ὑπέρ.

ΧΑ. Καὶ τούτους προστίθει. ΈΡ. Καὶ κηρὸν [1] ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου [2] τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα. ΧΑ. Εὖγε, [3] ἄξια ταῦτα ὠνήσω. ΈΡ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ· πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς; ΧΑ. Νῦν μὲν, ὦ Ἑρμῆ, ἀδύνατον· ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, [4] ἐνέσται τότε ἀποκερδάναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία. ΈΡ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ὑπὸ τούτων ἀπολαύοιμι. ΧΑ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ· νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΈΡ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα· πλὴν ἀλλ', οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶσθα [5] οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος [6] ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα, κἀὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις· οἱ δὲ πλεῖστοι αὐτῶν, διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. ΧΑ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα. ΈΡ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

---

1 ὡς here occupies a place usually assigned to ὥστε.

2 τὰ ἀνεῳγότα (sup. μέρη), "the open parts." *Vide* ἀνοίγω.

3 ἄξια, "worthy (of the money)."

4 ἐνέσται, "it will be in my power." *Vide* ἔνεστι.

5 οἷοι, "what sort of persons; in what plight."

6 ἀνάπλεῳ, Att. for ἀνάπλεοι.

PARS SECUNDA.

I.

EX TYRTÆI ELEGIIS.

ΤΥΡΤΑΙΟΥ ΕΛΕΓΕΙΑΙ.

I.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμὸν,
Ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπεριπτίονας,
Ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
Ἧσθαι· ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
[Εὖ νύ τις ἀσπίδα θέσθω, ἐν ἀντιβίοις πολεμίζων,] 5
Καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
Τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ, μάχεσθαι
Γῆς πέρι, καὶ παίδων, κουριδίης τ' ἀλόχου,

I. 1. μέχρις τεῦ; "how long?" τεῦ for τίνος: κότ', Ion. for πότ'; thus below, κως for πως. *Vide* Herodotus *passim*.

5. εὖ νύ τις—θέσθω, "let each one set well."

6. ὕστατ' ἀκοντισάτω, "dart his last."

Δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω 10
Ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
Ἕλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
Ἀνδρ', οὐδ' ἢν προγόνων ἢ γένος ἀθανάτων.
Πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων 15
Ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
Ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος, οὐδὲ ποθεινός·
Τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ.
Λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
Θνήσκοντος· ζώων δ', ἄξιος ἡμιθέων. 20
Ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
Ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

II.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ·
Θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
Μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
Ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
Ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας 5
Κῆρας, ἴσ' αὐγαῖσιν ἠελίοιο, φίλας.

---

9. ἔσσεται, Poet. for ἔσεται, the consonant being doubled. Thus below, ὁππότε (for ὁπότε), ὀπίσσω, τρεσσάντων, ὄσσα, &c.

12. ἕλσας, by sync. for ἐλάσας; *vide* ἐλαύνω: τὸ πρῶτον; *vide* above, Anac. Ode I. v. 10.

13. εἱμαρμένον, Ion. for μεμ. *Vide* μείρω.

16. κίχεν, Ion. for ἔκιχεν, aor. 2. from κιχέω. *Vide* above, Anac. Ode III. v. 14.

17, 18. ὁ μὲν — τὸν δ', "this one — that one."

21. ὥσπερ —. Construe, γὰρ ὁρῶσιν μιν ὥσπερ πύργον.

II. 2. αὐχένα λοξὸν, "face averted (*lit.* neck turned away)."

5. ἐχθρὰν μὲν ψυχὴν θέμενος, "putting down life as hateful."

6. ἴσ' αὐγαῖσιν, "equally with the splendours;" ἴσα, adverbially, for ἴσως. *Vide* above, Anac. Ode I. v. 10.

Ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀρίδηλα,
Εὖ δ' ὀξγὴν ἐδάητ' ἀργαλέου πολέμου·
Καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
Ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε. 10
Οἱ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες,
Εἰς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
Παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
Τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα, 15
Ὅσσ', ἐὰν αἰσχρὰ πάθῃ, γίγνεταὶ ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
Ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
Αἰσχρὸν δ' ἔστι νέκυς κατακείμενος ἐν κονίῃσι
Νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος. 20
Ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακὼν,
Μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους
Ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
Δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος, 25
Κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
Ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
Μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
Ἀλλά τις ἐγγὺς ἰὼν, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
Ἢ ξίφει οὐτάζων, δηΐον ἄνδρ' ἑλέτω· 30

---

7. ἴστε, by sync. for ἴσατε, 2 pers. plur. pres. indic. from ἴσημι.

9. πρὸς, "on the side of." *Vide* πρός.

10. ἠλάσατε (sup. the recip. pron.), "you have urged yourselves."

15, 16. οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα — κακὰ, "no one would ever finish telling those several evils."

19. αἰσχρὸν (sup. χρῆμα), "a shameful object." The adjective, as a *predicate* (not as an *epithet*) often stands in the neuter singular, with substantives of any gender and number, χρῆμα being defective.

20. ἐληλαμένος, redup. for ἠλαμένος. *Vide* above, p. 11. n. 1.

24. ἀσπίδος εὐρείης γαστρὶ, "hollow (*lit.* belly) of the broad shield."

28. ἑστάτω, Ion. for ἱστάτω.

Καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
Ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
Καὶ στέρνον στέρνῳ, πεπλημένος ἀνδρὶ μαχέσθω,
Ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
Ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος 35
Πτώσσοντες, μεγάλοις σφάλλετε χερμαδίοις,
Δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς,
Τοῖσι πανοπλίταις ἐγγύθεν ἱστάμενοι.

---

31. πὰρ, for παρά.

33. πεπλημένος, by sync. for πεπελημένος, which is for πεπελασμένος.

35. ἄλλοθεν ἄλλος, "various in various quarters; i. e. one here, one there."

II.

EX HERODOTO.*

ΕΚ ΤΗΣ ΚΛΕΙΟΥΣ.

* * * * *

ʼΑΡΙΩΝ.

ΕΥΡΑ΄ΝΝΕΥΕ ὁ Περίανδρος Κορίνθου. [1] τῷ δὴ, λέγουσι Κορίνθιοι, (ὁμολογέουσι δέ [2] σφι Λέσβιοι), ἐν τῷ βίῳ, [3] θῶῦμα μέγιστον [4] παραστῆναι· — ΑΡΙΟΝΑ τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε [5] ἐόντων [6] οὐδενὸς δεύτερον, καὶ [7] διθύραμβον, πρῶτον ἀνθρώπων [8] τῶν ἡμεῖς ἴδμεν,

---

* Herodotus writes in the Ionic dialect; and we shall have occasion to give a pretty large explanation of the peculiarities of that dialect, as we go along.

1 τῷ, "to him." *Vide* above, p. 3. n. 5.

2 σφι for σφῖσι, *illis*.

3 θῶῦμα for θαῦμα; thus below, ἑωῦτὸν for ἑαυτὸν, &c.

4 παραστῆναι (sup. the recip. pron. ἑαυτὸ), "presented itself."

5 ἐόντων for ὄντων; thus below, ἀδελφέον (for ἀδελφὸν), ἡμέας, σφέας, δεσπότεας, αὐτέων, γνωμέων, γεφυρέων, προσθέω, &c. *Vide* above, p. 38. v. 14.

6 οὐδενὸς δεύτερον, "second to none." Not only the comparative degree, but also other words which imply the idea of comparison, govern the genitive.

7 διθύραμβον, governed by ποιήσαντα.

8 τῶν ἡμεῖς ἴδμεν (for ἴσαμεν, from ἴσημι), "whom we know." Herodotus very often uses the article both for the dem. and rel. pronoun. *Vide* above, p. 65. n. 3.

ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ.

Τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι [1] πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μέγαλα, θελῆσαι ὀπίσω ἐς Κόρινθον [2] ἀπικέσθαι· ὁρμᾶσθαι μέν νυν ἐκ [3] Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι, μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. [4] τοὺς δὲ, ἐν τῷ πελάγει, ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν τὰ χρήματα· τὸν δὲ, συνέντα τοῦτο, λίσσεσθαι, χρήματα μὲν [5] προΐεντά σφι, ψυχὴν δὲ παραιτεόμενον. οὔκων δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ [6] κελεύειν τοὺς πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾷν ἐς τὴν θάλασσαν, [7] τὴν ταχίστην.

Ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, [8] περιϊδέειν αὐτὸν, ἐν τῇ σκευῇ πάσῃ, στάντα ἐν τοῖσι ἐδωλίοισι, ἀεῖσαι· ἀείσας δὲ, [9] ὑπεδέκετο ἑωϋτὸν κατεργάσασθαι· [10] καὶ,—τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, [11] εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ,—ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην [12] νέα. τὸν δὲ, ἐνδύντα τε πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἐδωλίοισι,

---

1 πλῶσαι for πλεύσαι.

2 ἀπικέσθαι for ἀφ.; thus below, ἀπηγέεσθαι, &c. The Ionians change the aspirated consonants into the unaspirated, and *vice versa*.

3 Τάραντος, gen. from Τάρας.

4 τοὺς, "that they." *Vide* above, p. 71. n. 8.

5 προΐεντα, "giving up."

6 κελεύειν τοὺς—, "that the sailors ordered him either to dispatch himself, that he might obtain sepulture on land, or," &c.

7 τὴν ταχίστην. Sup. κατὰ ὁδόν.

8 περιϊδέειν (for περιϊδεῖν; *vide* above, p. 71. n. 5.) αὐτὸν, "to permit him;" thus below, ἐλθεῖν, ἀπολέει, κερδανέεις, &c.

9 ὑπεδέκετο, i. e. ὑπεδέχετο (*vide* above, n. 2.) ἑωϋτὸν κατεργάσασθαι, "he engaged to make an end of himself."

10 καί. Sup. τοὺς πορθμέας.

11 εἰ μέλλοιεν, "since they were about."

12 νέα or νῆα, for ναῦν.

[1] διεξελθεῖν νόμον τὸν ὄρθιον. τελευτῶντος δὲ τοῦ νόμου, ῥίψαι μιν ἐς τὴν θάλασσαν ἑωϋτὸν, [2] ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ· καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον· τὸν δὲ, Δελφῖνα, λέγουσι, ὑπολαβόντα, ἐξενεῖκαι ἐπὶ Ταίναρον.

Ἀποβάντα δὲ αὐτὸν, χωρέειν ἐς Κόρινθον, σὺν τῇ σκευῇ. καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ, ὑπὸ ἀπιστίης, Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, οὐδαμῇ μετιέντα, [3] ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. [4] ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς κληθέντας, ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην, καί μιν [5] εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, [6] ὥσπερ ἔχων ἐξεπήδησε. καὶ τοὺς, ἐκπλαγέντας, οὐκ ἔχειν ἔτι, ἐλεγχομένους, ἀρνέεσθαι.

Ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι. καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον, οὐ μέγα, ἐπὶ Ταινάρῳ, ἐπὶ Δελφῖνος ἐπεὼν ἄνθρωπος.

* * *

ΚΡΟΙΣΟΣ *καὶ* ΣΟΛΩΝ.

Χρόνου δὲ ἐπιγινομένου, καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ [7] οἰκημένων—(πλὴν

---

1 διεξελθεῖν —, "went through the Orthian measure."

2 ὡς εἶχε (sup. ἑαυτὸν), "as he held himself; as he was." *Vide* above, p. 40. n. 8.

3 ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων, "turned an anxious eye towards (held himself earnestly with respect to) the sailors."

4 ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς κληθέντας, "and when they, being called, attended." Greek writers, especially Herodotus, often use the infinitive with the particles, ὅς, ὅσος, ὡς, πρίν, &c. where the Latin idiom would require the indicative or subjunctive. *Vide* above, p. 50. n. 2.

5 εὖ πρήσσοντα (for πράσσοντα), "faring well;" thus below, πρῆγμα (for πρᾶγμα), νεηνίας, &c. *Vide* above, Anac. Ode I. v. 6.

6 ὥσπερ —, "as holding himself (i. e. as he was when) he leapt out."

7 οἰκημένων for ᾠκημένων, "who dwelt," the augment being rejected; thus below, ἔωθα (for ἐίωθα), ἀμείζετο, &c. *Vide* above, Anac. Ode III. v. 14.

γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε, καταστρεψάμενος, ὁ ΚΡΟΙΣΟΣ· εἰσὶ δὲ οἵδε, Λυδοὶ, Φρύγες, Μυσοὶ, Μαριανδυνοὶ, Χάλυβες, Παφλαγόνες, Θρῆκες, οἱ Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι).—κατεστραμμένων δὲ τούτων, καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις, ἀκμαζούσας πλούτῳ, ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ, τοῦτον τὸν χρόνον, [1] ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτέων ἀπικνέοιτο, καὶ δὴ καὶ ΣΟΛΩΝ, ἀνὴρ Ἀθηναῖος, ὅς, [2] Ἀθηναίοισι, νόμους, κελεύσασι, ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, [3] κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. αὐτοὶ γὰρ [4] οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νόμοισι, τοὺς ἂν σφίσι Σόλων θῆται.

Αὐτῶν δὴ [5] ὧν τούτων καὶ τῆς θεωρίης, ἐκδημήσας ὁ Σόλων, [6] εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Αμασιν, καὶ δὴ καὶ ἐς Σάρδις, παρὰ Κροῖσον. ἀπικόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι [7] βασιληΐοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ, ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. θησάμενον δέ μιν τὰ πάντα, καὶ σκεψάμενον, [8] ὡς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε· "Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ [9] σέο λόγος ἀπῖκται πολλὸς,

---

1 ἐτύγχανον ἐόντες, ὡς—, "who chanced to be there, just as each of them might come."

2 Ἀθηναίοισι —. Construe, ποιήσας νόμους Ἀθηναίοισι κελεύσασι. Such transpositions of words are frequent with Herodotus.

3 κατὰ θεωρίης πρόφασιν, "on pretence of taking a view (of foreign countries)."

4 οὐκ οἷοί τε ἦσαν, "were not such as, i. e. fit or able."

5 ὧν for οὖν.

6 εἵνεκεν for ἕνεκεν; thus below, κρέσσον for κρείσσον, &c.

7 βασιληΐοισι for βασιλείοις; thus below, ἱερήιον, οἰκήϊος, πρυτανηΐη, &c.

8 ὡς οἱ κατὰ καιρὸν ἦν, "as was in occasion to him, i. e. as the occasion invited him."

9 σέο for σοῦ; thus below, in verbs, ἐγένεο, ἐπιλέγεο, φόβεο, βουλεύεο, &c. The Ionians delight

καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων, γῆν πολλὴν, θεωρίης εἵνεκεν, ἐπελήλυθας· νῦν ὦν [1] ἵμερος, ἐπείρεσθαί, με ἐπῆλθέ, σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον;" Ὁ μὲν, [2] ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπηρώτα· Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ [3] τῷ ἐόντι χρησάμενος, λέγει· "Ω βασιλεῦ, Τέλλον Αθηναῖον." Αποθωϋμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ἐπιστρεφέως, "[4] Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;" Ὁ δὲ εἶπε, "Τέλλῳ, [5] τοῦτο μὲν, τῆς πόλιος [6] εὖ ἡκούσης, παῖδες ἦσαν καλοί τε κἀγαθοὶ, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα παραμείναντα· τοῦτο δὲ, [7] τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο. γενομένης γὰρ Αθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ελευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. καί μιν Αθηναῖοι δημοσίῃ τε ἔθαψαν, [8] αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως."

* * *

ΑΤΥΣ καὶ ΑΔΡΗΣΤΟΣ.

Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, (ὡς εἰκάσαι) ὅτι ἐνόμισε ἑωϋτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Αὐτίκα δέ, οἱ εὕδοντι

---

to resolve diphthongs and contractions.

1 ἵμερος —. Construe, ἵμερος ἐπῆλθέ με ἐπείρεσθαί σε. *Vide* above, p. 74. n. 2.

2 ἐλπίζων εἶναι, "trusting that he was."

3 τῷ ἐόντι, "the reality."

4 κοίῃ for ποίᾳ (sup. ὁδῷ); thus, below, κόθεν, κότερος, ὁκόθεν, &c. *Vide* above, p. 67. n. 1.

5 τοῦτο μὲν — τοῦτο δὲ (sup. κατὰ), "as for this part of it — as for that part of it;" or, "partly — partly;" or, "for one thing — for another thing."

6 εὖ ἡκούσης, "coming on well; flourishing."

7 τοῦ βίου —, "being well advanced in point of years, as matters go with us."

8 αὐτοῦ τῇπερ, "there, where."

ἐπέστη ὄνειρος, ὃς οἱ τὴν ἀληθηΐην ἔφαινε τῶν μελλόντων γένεσθαι κακῶν κατὰ τὸν παῖδα· ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες· τῶν [1] οὔτερος μὲν διέφθαρτο (ἦν γὰρ δὴ κωφός)· ὁ δὲ ἕτερος, τῶν ἡλίκων [2] μακρῷ, τὰ πάντα, πρῶτος· [3] οὔνομα δέ οἱ ἦν Ατυς· τοῦτον δὴ ὦν τὸν Ατυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν αἰχμῇ σιδηρέῃ βληθέντα· ὁ δ' ἐπεί τ' ἐξηγέρθη, καὶ [4] ἑωϋτῷ λόγον ἔδωκε, κατορρωδήσας τὸν ὄνειρον, [5] ἄγεται μὲν τῷ παιδὶ γυναῖκα· ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν, οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια δὲ, καὶ δοράτια, καὶ τὰ τοιαῦτα πάντα, τοῖσι [6] χρέονται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τοὺς θαλάμους συνένησε, μή τί [7] οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

Εχοντος δέ οἱ ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ [8] συμφορῇ ἐχόμενος, καὶ οὐ καθαρὸς χεῖρας ἐὼν, Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληΐου. παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία, κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο κυρῆσαι. Κροῖσος δέ μιν ἐκάθηρε. ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καί τις εἴη; λέγων τάδε, "[9] Ὠνθρωπε, τίς τε ἐὼν, καὶ πόθεν τῆς Φρυγίης ἥκων, ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" ὁ δὲ ἀμείβετο, "Ω βασιλεῦ,

---

1 οὔτερος for ὁ ἕτερος.

2 μακρῷ — πρῶτος. *Vide* above, p. 57. n. 11.

3 οὔνομα for ὄνομα; thus below, οὐλύμπος, οὖρος, μοῦνος, νοῦσος, &c.

4 ἑωϋτῷ λόγον ἔδωκε, "gave himself consideration."

5 ἄγεται μὲν τῷ παιδὶ, "takes for his son." *Vide* ἄγω.

6 χρέονται for χράονται.

7 οἱ ὁ τῷ παιδὶ, "on the boy for him or, on his boy."

8 συμφορῇ ἐχόμενος, "held fast by a calamity."

9 ὠνθρωπε —, for ὦ ἄνθρωπε, τίς τε ὢν, καὶ πόθεν τῆς Φρυγίας ἥκων, ἐφέστιος ἐμοὶ ἐγένου; "O man, who being, and from what part of Phrygia coming (i.e. who are you, &c. that), you have become a suppliant to (or, an inmate with) me?"

[1] Γορδίεω μὲν τοῦ Μίδεω εἰμὶ παῖς, ὀνομάζομαι δὲ ΑΔΡΗΣΤΟΣ· φονεύσας δὲ ἀδελφεὸν ἐμεωϋτοῦ ἀέκων, πάρειμι, ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς, καὶ ἐστερημένος πάντων." Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε, "Ανδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐὼν, καὶ ἐλήλυθας ἐς φίλους, ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς, μένων [2] ἐν ἡμετέρου· συμφορὴν δὲ ταύτην, [3] ὡς κουφότατα, φέρων, κερδανέεις πλεῖστον." Ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου.

Εν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ, [4] συὸς χρῆμα γίνεται μέγα· [5] ὁρμεώμενος δὲ οὗτος ἐκ τοῦ οὔρεος τούτου, τὰ τῶν Μυσῶν ἔργα [6] διαφθείρεσκε. πολλάκι δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες, ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ· τέλος δὲ, ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, "Ω βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει· τοῦτον προθυμεόμενοι ἑλέειν, οὐ δυνάμεθα· νῦν ὦν προσδεόμεθα [7] σεῦ, τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης." Οἱ μὲν δὴ τούτων ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε, "Παιδὸς μὲν περὶ τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι· νεόγαμός τε γάρ ἐστι, καὶ ταῦτά οἱ νῦν μέλει. Λυδῶν, μέντοι,

---

1 Γορδίεω —, for Γορδίου μὲν τοῦ (υἱοῦ) Μίδου. Thus below, Ξέρξεω, Καμβύσεω, Θρασύλεω, &c. *Vide* above, p. 35, v. 6, 7.

2 ἐν (sup. οἴκῳ) ἡμετέρου, "in the house of our family."

3 ὡς κουφότατα, "in the lightest manner possible." *Vide* above, p. 60. n. 5.

4 συὸς χρῆμα — μέγα, "a huge monster (*lit.* thing or object) of a boar."

5 ὁρμεώμενος for ὁρμώμενος, contr. for ὁρμαο.; thus below, ἀποχρεώμενος, ὀρεώντες, βδελλέων, &c. *Vide* above, p. 38. v. 14.

6 διαφθείρεσκε for διέφθειρε; thus below, ποιέεσκον (for ἐποίεον), ἐθέλεσκον, &c.

7 σεῦ for σοῦ; thus below, ἐμεῦ, ποιεύμενον (for ποιούμενον), ὠφελεύμενος, ἐναντιεύμενος, διαφορεύμενον, πλεῦνας (for πλέονας, contr. πλοῦνας), πείθευ, &c.

λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω· καὶ διακελεύσομαι τοῖσι ἰοῦσι, [1] εἶναι ὡς προθυμοτάτοισι συνεξελεῖν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης." Ταῦτα ἀμείψατο.

Αποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν, ἐπεισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς [2] τῶν ἐδέοντο οἱ Μυσοί· [3] οὐ φαμένου δὲ τοῦ Κροίσου τὸν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε, "Ω πάτερ, τὰ κάλλιστα, [4] πρότερόν κοτε, καὶ γενναιότατα ἡμῖν ἦν, ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐδοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληΐσας ἔχεις, οὔτε τινὰ δειλίην [5] μοι παριδὼν, οὔτε ἀθυμίην· νῦν τε [6] τέοισί, με χρὴ, ὄμμασι, ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα, φαίνεσθαι; κοῖος μέν [7] τις τοῖσι [8] πολιήτῃσι δόξω εἶναι; κοῖος δέ τις τῇ νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνῃ δόξει ἀνδρὶ συνοικέειν; ἐμὲ, ὦν, σὺ ἢ μέθες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον, ὅκως μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεόμενα." Αμείβεται Κροῖσος τοῖσδε, "Ω παῖ, οὔτε δειλίην, οὔτε ἄλλο οὐδὲν ἄχαρι, παριδών τοι, ποιέω ταῦτα· ἀλλά μοι ὄψις ὀνείρου, ἐν τῷ ὕπνῳ, ἐπιστᾶσα, ἔφη σὲ ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι· [9] πρὸς ὧν τὴν ὄψιν ταύτην, τόν τε

---

1 εἶναι ὡς —, "to be as active as possible to aid you in driving away." *Vide* above, p. 61. n. 8.

2 τῶν, "what things." *Vide* above, p. 71. n. 8.

3 οὐ φαμένου — συμπέμψειν, "having said he would not send." μη and οὐ occurring *before* verbs of declaring, must usually be translated as if they were put *after* them.

4 πρότερόν κοτε, "heretofore."

5 μοι παριδὼν, "having seen about (*lit.* near) me."

6 τέοισι for τοῖσι, which for τίσι, "with what eyes." The article, in the Ionic form, is often put for τις, both interrogative and indefinite; thus, τευ (τοῦ) for τινος, τέῳ (τῷ) for τινι; and in the compound ὅστις, ὅτεο for οὔτινος, ὅτεῳ for ᾧτινι.

7 τις, indef. is often superfluous.

8 πολιήτῃσι, dat. plur. of πολιήτης, Ion. for πολίτης. *Vide* above, Anac. Ode III. v. 20.

9 πρὸς, "at." We say in English, "at the sight, he did such a thing."

γάμον τοι τοῦτον ἔσπευσα, καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων, εἴ κως δυναίμην,[1] ἐπὶ τῆς ἐμῆς, σε, ζωῆς, διακλέψαι, εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον, διεφθαρμένον τὴν ἀκοὴν, οὐκ εἶναί μοι, λογίζομαι."

Αμείβεται ὁ νεηνίης τοῖσδε, "[2] Συγγνώμη μὲν, ὦ πάτερ τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν· [3] τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ [4] λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν. φής τοι τὸ ὄνειρον, ὑπὸ αἰχμῆς σιδηρέης, φάναι, ἐμὲ τελευτήσειν· ὑὸς δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη, ἣν σὺ [5] φοβέαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε τελευτήσειν με, ἢ ἄλλου τευ ὅ, τι [6] τούτῳ ἔοικε, [7] χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ, ὑπὸ αἰχμῆς. ἐπεί τε ὦν οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέθες με."

Αμείβεται Κροῖσος, "Ω παῖ, [8] ἐστι τῇ με νικᾷς γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου. ὡς ὦν νενικημένος ὑπὸ σέο, μεταγινώσκω, [9] μετίημι τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην."

Εἴπας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Αδρήστον· ἀπικομένῳ δέ οἱ λέγει τάδε, "Αδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάριτι, [10] τήν τοι οὐκ ὀνειδίζω, ἐκάθηρα, καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω, παρέχων πᾶσαν δαπάνην· νῦν ὦν (ὀφείλεις γὰρ, ἐμεῦ προποιήσαντος χρηστὰ ἔς σε, χρηστοῖσί με ἀμείβεσθαι),

---

1 ἐπὶ τῆς ἐμῆς ζωῆς, "for my lifetime."

2 συγγνώμη (sup. ἐστὶ), "there is excuse."

3 τὸ, "what." *Vide* above, p. 71. n. 8.

4 λέληθέ σε τὸ ὄνειρον, "has escaped you as to the dream."

5 φοβέαι for φοβῇ; thus below, βούλεαι, διαιρέεαι, ἀπολαμπρύνεαι, &c. *Vide* above, p. 74. n. 9.

6 τούτῳ ἔοικε, "resembles this."

7 χρῆν (for ἔχρην, sup. ἂν), "it would have been proper." *Vide* above, p. 17. n. 4.

8 ἐστι τῇ, "'tis in this point."

9 μετίημι for μεθ.; thus below, κατορῶν for καθ. &c. *Vide* above, p. 72. n. 2.

10 τήν τοι οὐκ ὀνειδίζω, "which I do not upbraid you with."

φύλακα παιδός, σε, τοῦ ἐμοῦ, χρῄζω γενέσθαι, ἐς ἄγρην ὁρμεωμένου, μή τινες, [1] κατ' ὁδὸν, κλῶπες κακοῦργοι, [2] ἐπὶ δηλήσει, φανέωσι ὑμῖν. [3] πρὸς δὲ τοῦτο, καὶ σέ τοι [4] χρεὼν ἐστὶ ἴέναι, ἔνθα ἀπολαμπρύνεαι τοῖσι ἔργοισι. πατρῴιόν τε γάρ τοι ἐστὶ, καὶ [5] προσέτι ῥώμη ὑπάρχει."

Ἀμείβεται ὁ Ἀδρηστος, "Ω βασιλεῦ, ἄλλως μὲν ἔγωγε ἂν οὐκ [6] ἤϊα ἐς ἄεθλον τοιόνδε· οὔτε γὰρ [7] συμφορῇ τοιῇδε κεχρημένον εἰκὸς ἐστι ἐς ὁμήλικας εὖ πρήσσοντας ἰέναι, [8] οὔτε τὸ βούλεσθαι παρά. πολλαχῇ τε ἀνίσχον ἐμεωϋτόν. νῦν δὲ, ἐπεί τε σὺ σπεύδεις, καὶ δεῖ τοι χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι), ποιέειν εἰμι ἕτοιμος ταῦτα. παῖδά τε σὸν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα, [9] τοῦ φυλάσσοντος εἵνεκεν, προσδόκα τοι ἀπονοστήσειν."

Τοιούτοισι ἐπεί τε οὗτος ἀμείψατο Κροῖσον, ἤϊσαν, μετὰ ταῦτα, ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. ἀπικόμενοι δὲ ἐς τὸν Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δὲ, καὶ περιστάντες αὐτὸ κύκλῳ, ἐσηκόντιζον. ἔνθα δὴ ὁ ξεῖνος οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἀδρηστος, ἀκοντίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ, ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην. ἔθεε δέ τις [10] ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός.

---

1 κατ' ὁδὸν, "in the way."

2 ἐπὶ δηλήσει, "for committing outrage."

3 πρὸς τοῦτο, "besides this."

4 χρεὼν (for χρέων, contr. χρῶν; *vide* above, p. 38. v. 14.) ἐστὶ, "it is necessary."

5 προσέτι ῥώμη ὑπάρχει, "besides, your vigour exists (unbroken)."

6 ἤϊα, perf. mid. from ἐέω, the same as εἶμι, eo.

7 συμφορῇ τοιῇδε κεχρημένον (sup. τινὰ; *vide* above, p. 6. n. 5.), "one who has experienced such a calamity."

8 οὔτε τὸ βούλεσθαι παρὰ, "nor is the wish near me, i. e. far from me is the wish."

9 τοῦ φυλάσσοντος εἵνεκεν, "as far as depends on the person guarding him."

10 ἀγγελέων for ἀγγελῶν, part. fut. *Vide* above, p. 38. v. 14.

ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ.

Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν [1] ἀπέκτεινε τὸν αὐτὸς φόνου ἐκάθηρε. περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου [2] πεπονθὼς εἴη. ἐκάλεε δὲ [3] ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν. τὸν μὲν ἐπίστιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον, φονέα τοῦ παιδὸς [4] ἐλάνθανε βόσκων· τὸν δὲ ἑταιρήϊον, ὡς φύλακα συμπέμψας αὐτὸν, εὑρήκοι πολεμιώτατον.

Παρῆσαν δὲ, μετὰ τοῦτο, οἱ Λυδοὶ φέροντες τὸν νεκρὸν, ὄπισθεν δὲ εἵπετό οἱ ὁ φονεύς. στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ, παρεδίδου ἑωὕτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαί μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωὕτοῦ συμφορὴν, καὶ ὡς, [5] ἐπ' ἐκείνῃ, τὸν καθήραντα ἀπολωλεκὼς εἴη· [6] οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας, τόν τε Αδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηΐῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτὸν, "Εχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ [7] σεωὕτοῦ καταδικάζεις θάνατον. εἷς δὲ οὐ σύμοι τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων [8] ἐξεργάσαο· ἀλλὰ θεῶν κοῦ τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι." Κροῖσος μέν νυν ἔθαψε,

---

1 ἀπέκτεινε. Sup. ἐκεῖνος.

2 πεπονθὼς εἴη, circumloc. for πεπόνθει. *Vide* above, p. 54. n. 1.

3 ἐπίστιον —, for ἐφέστιόν τε καὶ ἑταιρεῖον, "Jove hospitable and social."

4 ἐλάνθανε βόσκων, "he was ignorantly nourishing." *Vide* above, p. 41. n. 9.

5. ἐπ' ἐκείνῃ, "in addition to that."

6 οὐδέ οἱ εἴη βιώσιμον, "nor was fitness for life to him; nor was he fit to live." *Vide* Anac. Ode II. v. 5.

7 σεωὕτοῦ καταδικάζεις θάνατον, "you judge death against yourself; you doom yourself to death."

8 ἐξεργάσαο for — σω; thus below, ἀπεφήναο, &c. *Vide* above, p. 74. n. 9.

ὡς ἐοικὸς ἦν, τὸν ἑωϋτοῦ παῖδα. Αδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωϋτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι, τῶν αὐτὸς [1] ἤειδε, βαρυσυμφορώτατος, ἑωϋτὸν ἐπικατασφάζει τῷ τύμβῳ.

* * *

ΠΕΙΣΙΣΤΡΑΤΟΣ.

Τὸ μὲν [2] Αττικὸν κατεχόμενόν τε καὶ διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ ΠΕΙΣΙΣΤΡΑΤΟΥ [3] τοῦ Ἱπποκράτεος, τοῦτον τὸν χρόνον τυραννεύοντος Αθηναίων. Ἱπποκράτεϊ γὰρ, ἐόντι ἰδιώτῃ, καὶ θεωρέοντι τὰ Ολύμπια, τέρας ἐγένετο μέγα. θύσαντος γὰρ αὐτοῦ τὰ ἱρὰ, οἱ λέβητες, [4] ἐπεστεῶτες, καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος, ἄνευ πυρὸς ἔζεσαν, καὶ ὑπερέβαλον. Χίλων δὲ ὁ Λακεδαιμόνιος παρατυχὼν, καὶ θεησάμενος τὸ τέρας, συνεβούλευεν Ἱπποκράτεϊ, πρῶτα μὲν, γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία· εἰ δὲ τυγχάνει ἔχων, δεύτερα, τὴν γυναῖκα, ἐκπέμπειν· καὶ εἴ τις οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι. οὖκων, ταῦτα παραινέσαντος Χίλωνος, πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα· γενέσθαί οἱ, μετὰ ταῦτα, τὸν Πεισίστρατον τοῦτον, ὃς, στασιαζόντων τῶν παράλων καὶ τῶν [5] ἐκ τοῦ πεδίου Αθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Αλκμαίωνος, τῶν δὲ, ἐκ τοῦ πεδίου, [6] Λυκοῦργου Αριστολαΐδεω, καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν. συλλέξας δὲ στασιώτας, καὶ [7] τῷ λόγῳ

---

1 ἤειδε, Ion. afterwards Att. for εἴδε, 2 aor. from εἴδεω.

2 Αττικόν. Sup. χώριον.

3 τοῦ. Sup. υἱοῦ. *Vide* above, p. 19. n. 3.

4 ἐπεστεῶτες for ἐφεστακότες (contr. -ῶτες, part. perf. act. of ἐφίστημι), "standing near." *Vide* above, p. 19. n. 4.

5 ἐκ τοῦ πεδίου, "of the plain."

6 Λυκοῦργου. Sup. υἱοῦ.

7 τῷ λόγῳ —, "in word (not in deed, *ostensibly*) protecting the mountaineers."

τῶν Ὑπερακρίων προστὰς, μηχανᾶται τοιάδε: [1] τρωματίσας ἑωὑτόν τε καὶ ἡμιόνους, ἤλασεν ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθροὺς, οἵ μιν, ἐλαύνοντα ἐς ἀγρὸν, ἠθέλησαν ἀπολέσαι δῆθεν. ἐδέετό τε τοῦ δήμου φυλακῆς τινὸς πρὸς [2] αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν, καὶ ἄλλα [3] ἀποδεξάμενος μεγάλα ἔργα. ὁ δὲ δῆμος ὁ τῶν Αθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ. ξύλων γὰρ κορύνας ἔχοντες εἵποντο οἱ ὄπισθεν. συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ, ἔσχον τὴν ἀκρόπολιν. ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχεν Αθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας, οὔτε θέσμια μεταλλάξας· [4] ἐπί τε τοῖσι κατεστεῶσι ἔνεμε τὴν πόλιν, κοσμέων καλῶς τε καὶ εὖ. μετὰ δὲ οὐ πολλὸν χρόνον, [5] τὠὐτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέος στασιῶται καὶ οἱ τοῦ Λυκούργου, ἐξελαύνουσί μιν.

Οὕτω μὲν Πεισίστρατος ἔσχε, τοπρῶτον, Αθήνας, καὶ τὴν τυραννίδα [6] οὔκω κάρτα ἐρριζωμένην ἔχων, ἀπέβαλεν. οἱ δὲ ἐξελάσαντες Πεισίστρατον, αὖτις, [7] ἐκ νέης, ἐπ' ἀλλήλοισιν ἐστασίασαν. [8] περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης, [9] ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό [10] οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ

---

1 τρωμ. for τραυμ.

2 αὐτοῦ, scil. δήμου.

3 ἀποδεξ. for ἀποδειξ. *Vide* above, p. 74. n. 6.

4 ἐπί τε τοῖσι κατεστεῶσι (part. perf. act.), "upon the established laws;" κατεστεῶσι for κατεσταλόσι, contr.—ῶσι. *Vide* above, p. 82. n. 4.

5 τὠὐτὸ (for τὸ αὐτὸ) φρονήσαντες, "having come to the same mind (to a union)."

6 οὔκω for οὔπω. *Vide* above, p. 67. v. l.

7 ἐκ νέης, "anew."

8 περιελαυνόμενος, "driven about; harassed."

9 ἐπεκηρυκεύετο, "proposed by a herald."

10 οἱ τὴν —, "to have his daughter for a wife, upon condition of obtaining the government."

τυραννίδι. ἐνδεξαμένου δὲ τὸν λόγον, καὶ ὁμολογήσαντος,[1] ἐπὶ τούτοισι, Πεισιστράτου, μηχανῶνται δὴ,[2] ἐπὶ τῇ κατόδῳ, πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω,[3] μακρῷ· (ἐπεί γε[4] ἀπεκρίθη, ἐκ παλαιτέρου, τοῦ βαρβαρικοῦ ἔθνεος τὸ Ἑλληνικόν· ἐὸν καὶ δεξιώτερον, καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον·) εἰ καὶ τότε γε οὗτοι ἐν Αθηναίοισι τοῖσι πρώτοισι λεγομένοισιν εἶναι Ἑλλήνων σοφίην, μηχανῶνται τοιάδε. Εν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ, τῇ οὔνομα ἦν Φύη, μέγεθος[5] ἀπὸ τεσσέρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους, καὶ ἄλλως εὐειδής. ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες καὶ[6] προδέξαντες σχῆμα, οἷόν τι, ἔμελλεν εὐπρεπέστατον φανέεσθαι, ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους, κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον, ἐς τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε, "Ω Αθηναῖοι, δέκεσθε, ἀγαθῷ νόῳ, Πεισίστρατον, τὸν αὐτὴ ἡ Αθηναίη, τιμήσασα ἀνθρώπων μάλιστα, κατάγει ἐς τὴν ἑωϋτῆς ἀκρόπολιν." Οἱ μὲν δὴ ταῦτα,[7] διαφοιτέοντες, ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς δήμους φάτις ἀπίκετο, ὡς Αθηναίη Πεισίστρατον κατάγει· καὶ ἐν τῷ ἄστεϊ πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον, καὶ ἐδέκοντο τὸν Πεισίστρατον.

---

1 ἐπὶ τούτοισι, "upon these conditions."

2 ἐπὶ τῇ κατόδῳ (for καθόδῳ), "for (effecting) his return."

3 μακρῷ. *Vide* above, p. 57. n. 11.

4 ἀπεκρίθη —, "was separated, from an ancient period, from the Barbarian nation." *Vide* κρίνω.

5 ἀπὸ τεσσέρων (for τεσσάρων) πηχέων —, "wanting three digits of four cubits."

6 προδέξαντες (for προδείξ. *Vide* above, p. 83. n. 3.) σχῆμα —, "having shown (or, taught) her beforehand the attitude in which (*lit.* an attitude such as assuming or having) she was likely to have the most graceful appearance."

7 διαφοιτέοντες for —άοντες.

* * * *

ΚΥΡΟΣ.

Ὁ Αστυάγης εἶδε ἄλλην ὄψιν. Εδόκεε δέ οἱ ἐκ τῆς θυγατρὸς φύναι ἄμπελον· τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ασίην πᾶσαν. ἰδὼν δὲ τοῦτο, καὶ ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα, ἐπίτεκα ἐοῦσαν. ἀπικομένην δὲ ἐφύλασσε, βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον, ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου. ταῦτα δὴ ὦν [1] φυλασσόμενος ὁ Αστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, καὶ πιστότατόν τε Μήδων, καὶ πάντων ἐπίτροπον τῶν ἑωϋτοῦ, ἔλεγέ οἱ τοιάδε. "Ἅρπαγε, πρῆγμα [2] τὸ ἄν τοι προσθέω, μηδαμᾶ παραχρήσῃ· μηδὲ ἐμέ τε παραβάλῃ, [3] καὶ ἄλλους ἑλόμενος, ἐξ ὑστέρης σοι ἑωϋτῷ περιπέσῃς. λάβε [4] τὸν Μανδάνη ἔτεκε παῖδα. φέρων δὲ [5] ἐς σεωϋτοῦ, ἀπόκτεινον· [6] μετὰ δὲ, θάψον τρόπῳ ὅτεῳ αὐτὸς βούλεαι." ὁ δὲ ἀμείβεται, "Ω βασιλεῦ, οὔτε ἄλλοτί κω παρεῖδες [7] ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν, [8] φυλασσόμεθα δὲ ἐς σὲ, καὶ ἐς τὸν μετέπειτα χρόνον,

---

1 φυλασσόμενος, "guarding against."

2 τὸ. *Vide* above, p. 71. n. 8.

3 καὶ ἄλλους —, "and choosing (or, favouring) others, fall upon (i. e. bring ruin upon) yourself afterwards."

4 τὸν — παῖδα, *quem puerum. Vide* above, n. 2.

5 ἐς. Sup. οἶκον. *Vide* above, p. 77. n. 2.

6 μετὰ, "afterwards; or, after this." Prepositions are often put, like adverbs, with an ellipsis of a demonstrative pronoun.

7 ἀνδρὶ τῷδε, "this man;" meaning, and probably pointing to, himself. *Vide* above, p. 78. n. 5.

8 φυλασσόμεθα δὲ —, "and I will take care also in time coming to do no wrong towards you."

μηδὲν ἐξαμαρτεῖν. ἀλλ' [1] εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δή, [2] τόγε ἐμὸν, ὑπηρετέεσθαι ἐπιτηδέως."

Τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὡς οἱ παρεδόθη τὸ παιδίον κεκοσμημένον [3] τὴν ἐπὶ θανάτῳ, ᾔει κλαίων ἐς τὰ οἰκία. παρελθὼν δὲ ἔφραζε τῇ ἑωϋτοῦ γυναικὶ τὸν πάντα Αστυάγεος ῥηθέντα λόγον. ἡ δὲ πρὸς αὐτὸν λέγει, "Νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν;" ὁ δὲ ἀμείβεται· "οὐκ [4] ἥ ἐνετέλλετο Αστυάγης. Οὐδ' εἰ παραφρονήσει τε καὶ μανεῖται κακίον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε [5] προσθήσομαι τῇ γνώμῃ, οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετήσω. πολλῶν δὲ εἵνεκα οὐ φονεύσω μιν· καὶ ὅτι αὐτῷ μοι συγγενής ἐστιν ὁ παῖς, καὶ ὅτι Αστυάγης μέν ἐστι γέρων, καὶ ἄπαις ἔρσενος γόνου· [6] εἰ δὲ θελήσει, τούτου τελευτήσαντος, ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννὶς, ἧς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τί, ἤ, λείπεται [7] τὸ ἐνθεῦτεν ἐμοὶ, κινδύνων ὁ μέγιστος; ἀλλὰ τοῦ μὲν ἀσφαλέος εἵνεκα ἐμοὶ, δεῖ τοῦτον τελευτᾷν τὸν παῖδα· δεῖ, μέντοι, τῶν τινα Αστυάγεος, αὐτοῦ φονέα γενέσθαι, καὶ μὴ τῶν ἐμῶν."

Ταῦτα εἶπε, καὶ αὐτίκα ἄγγελον ἔπεμπε [8] ἐπὶ τῶν βουκόλων τῶν Αστυάγεος, τὸν ἠπίστατο νομάς τε ἐπιτηδεωτάτας νέμοντα καὶ οὔρεα θηριωδέστατα, τῷ οὔνομα ἦν Μιτραδάτης. συνοίκεε δὲ ἑωϋτοῦ συνδούλῃ. οὔνομα δὲ τῇ γυναικὶ ἦν, τῇ συνοίκεε, Κυνὼ, κατὰ τὴν Ἑλλήνων γλῶσσαν· κατὰ δὲ τὴν Μηδικὴν, Σπακώ.

---

1 εἴ — γίνεσθαι. *Vide* above, p. 73. n. 4.

2 τόγε ἐμὸν (sup. κατὰ μέρος), "as to my part, or share." *Vide* above, p. 43. n. 10.

3 τὴν (sup. κατὰ ὁδὸν) ἐπὶ θανάτῳ, "the way for death, i. e. according to the method on the prospect of death."

4 *Vide* ἥ.

5 προσθήσομαι τῇ γνώμῃ, "will I lend myself to his will."

6 εἰ δὲ θελήσει — ἡ τυραννὶς, "but if the government shall choose (i. e. happen)."

7 τὸ ἐνθεῦτεν, "henceforth;" thus below, ἐνθαῦτα for ἐνταῦθα; *vide* above, p. 72. n. 2.

8 ἐπὶ (sup. τινα) —τὸν, "to a certain one whom."

τὴν γὰρ κύνα καλέουσι σπάκα Μῆδοι. αἱ δὲ ὑπώρεαί εἰσι τῶν οὐρέων, ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ βουκόλος, [1] πρὸς βορέω τε ἀνέμου τῶν Αγβατάνων, καὶ πρὸς τοῦ πόντου τοῦ Εὐξείνου. [2] ταύτῃ μὲν γὰρ ἡ Μηδικὴ χώρη, πρὸς Σασπείρων, ὀρεινή ἐστι κάρτα, καὶ ὑψηλή τε, καὶ ἴδησι συνηρεφής. ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ πᾶσα ἄπεδος. ἐπεὶ ὦν ὁ βουκόλος σπουδῇ πολλῇ καλέομενος, ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε, "Κελεύει σε Αστυάγης, τὸ παιδίον τοῦτο λαβόντα, θεῖναι ἐς τὸ ἐρημότατον τῶν οὐρέων, ὅκως ἂν τάχιστα διαφθαρείη." καὶ τάδε τοι ἐκέλευσε εἰπεῖν, "Ην μὴ ἀποκτείνῃς αὐτὸ, ἀλλά τεῳ τρόπῳ περιποιήσῃ, ὀλέθρῳ τῷ κακίστῳ σε διαχρήσεσθαι. ἐπορᾷν δὲ ἐκκείμενον διατέταγμαι ἐγώ."

Ταῦτα ἀκούσας ὁ βουκόλος, καὶ ἀναλαβὼν τὸ παίδιον, ἤιε τὴν αὐτὴν ὀπίσω ὁδὸν, καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν. τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνὴ ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, τότε κως [3] κατὰ δαίμονα τίκτει, οἰχομένου τοῦ βουκόλου ἐς πόλιν. ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τοῦ τόκου τῆς γυναικὸς, [4] ἀῤῥωδέων. ἡ δὲ γυνὴ, ὅτι, οὐκ ἐωθὼς, ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα· ἐπεί τε δὲ ἀπονοστήσας ἐπέστη, [5] οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ, ἔρετο πρότερη, [6] ὅ, τι μιν οὕτω προθύμως Ἅρπαγος μεταπέμψαιτο. ὁ δὲ εἶπε, "Ω γύναι, εἶδόν τε, ἐς πόλιν ἐλθὼν, καὶ ἤκουσα τὸ μήτε ἰδεῖν ὄφελον, [7] μήτέ κοτε γενέσθαι ἐς δεσπότεας τοὺς ἡμετέρους· οἶκος μὲν πᾶς Ἅρπάγου

---

1 πρὸς βορέω (for βοροῦ, from βορᾶς, contr. for βορέας; *vide* above, p. 35. v. 6, 7.) τε ἀνέμου τῶν Αγβατάνων, "towards the north of Ecbatana."

2 *Vide* ταύτῃ.

3 κατὰ δαίμονα, "according to (the will of) a god."

4 ἀῤῥωδέων for ὀῤῥωδέων.

5 οἷα ἐξ ἀέλπτου, "as if unexpectedly."

6 ὅ, τι (sup. διὰ), "on account of what?"

7 μήτε. Sup. ὄφελε.

κλαυθμῷ κατείχετο· ἐγὼ δὲ ἐκπλαγεὶς, ἤϊα ἔσω. [1] ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον προκείμενον, ἀσπαῖρόν τε καὶ κραυγανόμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δὲ ὡς εἶδέ με, ἐκέλευε, τὴν ταχίστην, ἀναλαβόντα τὸ παιδίον, οἴχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν οὔρεων, φὰς Ἀστυάγεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν μοι· πόλλ' ἀπειλήσας εἰ μή [2] σφεα ποιήσαιμι. καὶ ἐγὼ ἀναλαβὼν, ἔφερον, δοκέων τῶν τινος οἰκετέων εἶναι. [3] οὐ γὰρ ἄν κοτε κατέδοξα ἔνθεν γε ἦν. ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον· [4] πρὸς δὲ, καὶ κλαυθμὸν [5] κατεστεῶτα ἐμφανέα ἐν Ἅρπάγου. καὶ πρόκα τε δὴ, κατ' ὁδὸν, πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς, ἐμὲ προπέμπων ἔξω πόλιος, ἐνεχείρισε τὸ βρέφος.—[6] ὡς ἄρα Μανδάνης τε εἴη παῖς τῆς Ἀστυάγεος θυγατρὸς καὶ Καμβύσεω τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται ἀποκτεῖναι. νῦν τε ὧδέ ἐστι."

[7] Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος, καὶ ἐκκαλύψας ἀπεδείκνυε. ἡ δὲ, ὡς εἶδε τὸ παιδίον, μέγα τε καὶ εὐειδὲς ἐὸν, δακρύσασα, καὶ λαβομένη τῶν γουνάτων τοῦ ἀνδρὸς, ἔχρηζε, [8] μηδεμιῇ τέχνῃ, ἐκθεῖναί μιν. ὁ δὲ [9] οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν. ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἅρπάγου ἐποψομένους· [10] ἀπολέεσθαί τε κάκιστα, ἢν μή σφεα ποιήσῃ. ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε,

---

1 ὡς τάχιστα, *quum primum*, "as soon as."

2 σφεα for αὐτά.

3 οὐ γὰρ ἄν —, "for I could never have conceived whence it really was."

4 πρὸς, "besides; or, in addition to these things." *Vide* above, p. 85. n. 6.

5 κατεστεῶτα for κατεστάοτα, "having placed itself; appearing."

6 ὡς ἄρα, "that in truth."

7 ἅμα, "at once."

8 μηδεμιῇ τέχνῃ, "by no means."

9 οὐκ ἔφη οἷός τ' εἶναι, "said he was not able." *Vide* above, p. 78. n. 3.; also p. 74. n. 4.

10 ἀπολέεσθαι for ἀπολεῖσθαι. *Vide* above, p. 74. n. 9.

"Επεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσα ἀνάγκη ὀφθῆναι ἐκκείμενον. τέτοκα γὰρ καὶ ἐγώ. τέτοκα δὲ [1] τεθνεός· τοῦτο μὲν φέρων πρόβες· τὸν δὲ τῆς Αστυάγεος θυγατρὸς παῖδα, ὡς ἐξ ἡμέων ἐόντα, τρέφωμεν. καὶ οὕτω, οὔτε σὺ ἁλώσεαι ἀδικέων τοὺς δεσπότεας, [2] οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται. ὅ, τε γὰρ τεθνεὼς βασιληΐης ταφῆς κυρήσει, καὶ ὁ περιεὼν οὐκ ἀπολέει τὴν ψυχήν."

Κάρτα τε ἔδοξε τῷ βουκόλῳ, πρὸς τὰ παρεόντα, εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα. τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν [3] παραδιδοῖ τῇ ἑωϋτοῦ γυναικί. τὸν δὲ, ἑωϋτοῦ ἐόντα, νεκρὸν λαβὼν, ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον. κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν οὐρέων, τιθεῖ· ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἤϊε ἐς πόλιν ὁ βουκόλος, τῶν τινὰ προβόσκων φύλακον αὐτοῦ καταλιπών. ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου, ἀποδεικνύναι ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν νέκυν. πέμψας δὲ ὁ Ἁρπαγος τῶν ἑωϋτοῦ δορυφόρων τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον. καὶ τὸ μὲν ἐτέθαπτο· τὸν δὲ, [4] ὕστερον τούτων, ΚΥΡΟΝ ὀνομασθέντα, παραλαβοῦσα, ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο κού τι, καὶ οὐ Κῦρον, θεμένη.

---

1 τεθνεὸς for τεθνηκὸς (part. perf. act. of θνήσκω). Sup. βρέφος.

2 οὔτε ἡμῖν —, "nor will our own interest have been ill consulted."

3 παραδιδοῖ, contr. for —ύει, from παραδιδόω, the same as παραδίδωμι. Thus a little below, τιθεῖ from τιθέω, the same as τίθημι; also, μετίει from μετιέω, the same as μεθίημι.

4 ὕστερον τούτων, "long after these things." *Vide* above, p. 71. n. 6.

ΕΚ ΤΗΣ ΕΥΤΕΡΠΗΣ.

* * *

ΨΑΜΜΗΤΙΧΟΣ.

Οἱ δὲ Αἰγύπτιοι, [1] πρὶν μὲν ἢ Ψαμμητιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωὐτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. ἐπειδὴ δὲ Ψαμμήτιχος, βασιλεύσας, ἠθέλησε εἰδέναι οἵτινες [2] γενοίατο πρῶτοι, [3] ἀπὸ τούτου νομίζουσι Φρύγας [4] προτέρους γενέσθαι ἑωὐτῶν, τῶν δὲ ἄλλων ἑωὐτούς. Ψαμμήτιχος δὲ, ὡς οὐκ ἐδύνατο, πυνθανόμενος, πόρον οὐδένα τούτου ἀνευρεῖν, οἳ γενοίατο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόνδε· παιδία δύο νεογνὰ ἀνθρώπων [5] τῶν ἐπιτυχόντων δίδωσι ποιμένι τρέφειν [6] ἐς τὰ ποίμνια, [7] τροφήν τινα τοιήνδε· ἐντειλάμενος μηδένα, [8] ἀντίον αὐτέων, μηδεμίην φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ, [9] ἐπ' ἑωὐτῶν, κέεσθαι αὐτὰ, καὶ, [10] τὴν ὥρην, ἐπάγειν σφι αἶγας. πλήσαντα δὲ τοῦ γάλακτος, [11] τἄλλα διαπρήσσεσθαι. ταῦτα δ' ἐποιέετο καὶ ἐνετέλλετο ὁ Ψαμμήτιχος, θέλων ἀκοῦσαι τῶν παιδίων ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην.

---

1 πρὶν μὲν ἤ. *Vide* above, p. 50. n. 2.; also p. 4. n. 9.

2 γενοίατο for γένοιντο. *Vide* Anac. Ode III. v. 5.

3 ἀπὸ τούτου. Sup. χρόνου.

4 προτέρους γενέσθαι ἑωὐτῶν, "existed prior to themselves."

5 τῶν ἐπιτυχόντων, "chance (or, vulgar) persons."

6 ἐς τὰ ποίμνια. *Vide* above, p. 9. n. 8.

7 (κατὰ) τροφήν τινα τοιήνδε, "according to some such mode of rearing,"

8 ἀντίον αὐτέων, μηδεμίην —, "to utter no word before them;" ἱέναι, pres. infin. from ἵημι.

9 ἐπ' ἑωὐτῶν, κέεσθαι αὐτὰ, "that they should lie by themselves;" κέεσθαι for κεῖσθαι. *Vide* above, p. 74. n. 9.

10 (κατὰ) τὴν ὥρην, ἐπάγειν —, "at the proper time he should bring she-goats to them."

11 τἄλλα διαπρήσσεσθαι, "he should go through his other business."

τάπερ ὦν καὶ ἐγένετο. ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην, καὶ εἰσιόντι, τὰ παιδία ἀμφότερα, προσπίπτοντα, βεκὸς ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. τὰ μὲν δὴ πρῶτα ἀκούσας, ἥσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκι φοιτέοντι καὶ ἐπιμελουμένῳ [1] πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ, ἤγαγε τὰ παιδία, [2] κελεύσαντος, ἐς ὄψιν τὴν ἐκείνου. ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος, ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκὸς τὶ καλέουσι. πυνθανόμενος δὲ, εὕρισκε Φρύγας καλέοντας τὸν ἄρτον. οὕτω συνεγώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σταθμησάμενοι πρήγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν.

* * *

Ὁ ΚΡΟΚΟΔΕΙΛΟΣ.

Τῶν δὲ κροκοδείλων φύσις ἐστὶ τοιήδε· τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν· ἐὸν δὲ τετράπουν, χερσαῖον καὶ λιμναῖόν ἐστι· τίκτει μὲν γὰρ ὠὰ ἐν γῇ, καὶ ἐκλέπει· καὶ, τὸ πολλὸν τῆς ἡμέρης, διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν, ἐν τῷ ποταμῷ. θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. πάντων δὲ, [3] τῶν ἡμεῖς ἴδμεν, θνητῶν, τοῦτο, ἐξ ἐλαχίστου, μέγιστον γίνεται· τὰ μὲν γὰρ ὠὰ χηνέων οὐ πολλῷ μέζονα τίκτει· καὶ ὁ νεοσσὸς [4] κατὰ λόγον τοῦ ὠοῦ γίνεται· αὐξανόμενος δὲ γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας, καὶ μέζων ἔτι. ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιό-

---

1 πολλὸν ἦν, "was often repeated."

2 κελεύσαντος. Sup. τοῦ δεσπότου.

3 τῶν ἡμεῖς ἴδμεν. *Vide* above, p. 71. n. 8.

4 κατὰ λόγον, "according to the proportion."

δοντας, κατὰ λόγον τοῦ σώματος. γλῶσσαν δὲ, μοῦνον θηρίων, [1] οὐκ ἔφυσε· οὐδὲ τὴν κάτω κινέει γνάθον, ἀλλὰ καὶ τοῦτο, μοῦνον θηρίων, τὴν ἄνω γνάθον προσάγει τῇ κάτω· ἔχει δὲ καὶ ὄνυχας καρτερούς, καὶ δέρμα λεπιδωτὸν ἄρρηκτον ἐπὶ τοῦ νώτου. τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον. ἅτε δὴ ὦν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν· ὁ δὲ τροχῖλος [2] εἰρηναῖόν οἱ ἐστὶ, ἅτε ὠφελεομένῳ πρὸς αὐτοῦ. ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ, ἐκ τοῦ ὕδατος, ὁ κροκόδειλος, καὶ ἔπειτα χάνῃ, (ἔωθεε γὰρ τοῦτο, [3] ὡς ἐπίπαν, ποιέειν [4] πρὸς τὸν ζέφυρον) ἐνθαῦτα ὁ τροχῖλος, ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ, καταπίνει τὰς βδέλλας· ὁ δὲ, ὠφελεύμενος, ἥδεται, καὶ οὐδὲν σίνεται τὸν τροχῖλον.

[5] Τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δ' οὐ, ἀλλ' ἅτε πολεμίους περιέπουσι. οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες καὶ κάρτα ἥγηνται αὐτοὺς εἶναι ἱρούς. ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα· ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες, καὶ ἀμφιδέας περὶ τοὺς ἐμπροσθίους πόδας, καὶ σιτία ἀπόταπτα διδόντες, καὶ ἱρήϊα· καὶ [6] περιέποντες ὡς κάλλιστα ζῶντας, ἀποθανόντας δὲ ταριχεύοντες, θάπτουσι ἐν ἱρῇσι θήκῃσι. οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες, καὶ ἐσθίουσι αὐτοὺς, οὐκ ἡγεόμενοι ἱροὺς εἶναι. καλέονται δὲ οὐ κροκόδειλοι, ἀλλὰ χάμψαι. κροκοδείλους δὲ Ἴωνες ὠνόμασαν, εἰκάζ-

---

1 οὐκ ἔφυσε, "it has not got from nature."

2 εἰρηναῖον. Sup. ζῴον.

3 ὡς ἐπίπαν, "in general."

4 πρὸς τὸν ζέφυρον, "to the west."

5 τοῖσι μὲν — τοῖσι δ', "to some — to others." *Vide* above, p. 68. v. 17, 18, &c.

6 περιέποντες —, "cherishing them, while alive, in the finest manner possible."

οντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ σφίσι γινομένοισι κροκοδείλοισι τοῖσι ἐν τῇσι αἱμασιῇσι.

[1] Ἄγραι δέ σφεων πολλαὶ κατεστέασι, καὶ παντοῖαι. ἣ δ' ὧν ἐμοί γε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω· ἐπεὰν νῶτον ὑὸς [2] δελεάσῃ περὶ ἄγκιστρον, [3] μετίει ἐς μέσον τὸν ποταμόν. αὐτὸς δὲ, ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ, ἔχων δέλφακα ζωὴν, ταύτην τύπτει. ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος, [4] ἵεται κατὰ τὴν φωνήν· ἐντυχὼν δὲ τῷ νώτῳ, καταπίνει· οἱ δὲ ἕλκουσι. ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ [5] κατ' ὧν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς. τοῦτο δὲ ποιήσας, κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται· μὴ ποιήσας δὲ τοῦτο, σὺν πόνῳ.

ΕΚ ΤΗΣ ΕΡΑΤΟΥΣ.

* * *

Ἡ ΕΝ ΜΑΡΑΘΩΝΙ ΜΑΧΗ.

Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι [6] ἐγίνοντο δίχα αἱ γνῶμαι· τῶν μὲν οὐκ [7] ἐώντων συμβάλλειν· ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν· τῶν δὲ, καὶ Μιλτιάδεω, κελευόντων. ὡς δὲ δίχα ἐγίνοντο, καὶ [8] ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα—([9] ἦν γὰρ

---

1 ἄγραι δὲ —, "and many methods of catching them exist;" κατεστέασι for κατεστήκασι, perf. act. of καθίστημι: variations, κατεστήκασι, —άκασι, —άασι, —έασι; so in the participle, —ηκὼς, —ακὼς, —αὼς, —εὼς, —ῶς.

2 δελεάσῃ. Sup. τὶς.

3 μετίει, (for μεθ.) "he throws it." *Vide* above, p. 72. n. 2.

4 ἵεται, pres. mid. from ἵημι, *eo*.

5 κατ' ὧν ἔπλασε (by *tmesis*, for ὧν κατέπλασε), "is wont to seal up." *Vide* καταπλάσσω.

6 ἐγίνοντο δίχα, "were of two kinds."

7 ἐώντων, contr. for ἐαόντων.

8 ἐνίκα, "was prevailing."

9 ἦν γὰρ —, "there was still

ἑνδέκατος ψηφιδοφόρος ὁ τῳ κυάμῳ λαχὼν Αθηναίων πολεμαρχέειν· [1] τοπαλαιὸν γὰρ Αθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι). ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Αφιδναῖος·—πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης, ἔλεγε τάδε, "[2] Εν σοὶ νῦν, Καλλίμαχέ, ἐστι ἢ καταδουλῶσαι Αθήνας, ἢ ἐλευθέρας ποιήσαντα, μνημόσυνον λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον, οἷον οὐδὲ Αρμόδιός τε καὶ Αριστογείτων λείπουσι. νῦν γὰρ δὴ, [3] ἐξ οὗ ἐγένοντο Αθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον· καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, [4] δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ· ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, [5] οἵη τέ ἐστι πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι. κῶς ὦν δὴ ταῦτα οἷά τε ἐστι γενέσθαι, [6] καὶ κῶς ἐς σέ τι τουτέων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. ἡμέων τῶν στρατηγῶν ἐόντων δέκα, δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν κελευόντων συμβαλέειν, τῶν δὲ οὐ συμβαλέειν. ἢν μέν νυν μὴ συμβάλωμεν, [7] ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Αθηναίων φρονήματα, ὥστε [8] μηδίσαι· ἢν δὲ συμβάλωμεν [9] πρίν τι καὶ σαθρὸν Αθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων, οἷοί τε [10] εἰμὲν περιγενέσθαι τῇ συμβολῇ. ταῦτα ὦν πάντα ἐς σε νῦν [11] τείνει, καὶ ἐκ σέο ἄρτηται.

---

an eleventh person to vote, he who by the bean had obtained the office of *polemarch* of the Athenians."

1 τοπαλαιὸν, i. e. τὸ παλαιόν. *Vide* above, Anac. Ode I. v. 10.

2 ἐν σοὶ, "in your power." *Vide* ἐν.

3 ἐξ οὗ. Sup. χρόνου.

4 δέδοκται, "it is decreed."

5 οἵη τέ ἐστι. *Vide* above, p. 74. n. 4.

6 καὶ κῶς ἔς σε —, "and how it in some measure comes home to you (or, is put in your hands), to have the decision of these matters."

7 ἔλπομαι, "I expect; I doubt not."

8 *Vide* μηδίζω.

9 πρίν τι καὶ —, "before some treacherous thought spring up in any of the Athenians."

10 εἰμὲν for ἐσμέν.

11 τείνει, "incline themselves." *Vide* above, p. 12. n. 1.

ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ [1] προσθῇ, ἔστι τοι πατρίς τε ἐλευθέρη, καὶ πόλις πρώτη τῶν ἐν τῇ Ἑλλάδι. ἢν δὲ τῶν ἀποσπευδόντων τὴν συμβολὴν [2] ἕλῃ, ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν τὰ ἐναντία."

Ταῦτα λέγων ὁ Μιλτιάδης, προσκτᾶται τὸν Καλλίμαχον. προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης, ἐκεκύρωτο συμβάλλειν. μετὰ δὲ, οἱ στρατηγοὶ, τῶν ἡ γνώμη ἐφέρετο συμβάλλειν, [3] ὡς ἑκάστου αὐτέων ἐγίνετο πρυτανηΐη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν. ὁ δὲ, [4] δεκόμενος, οὔτι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηΐη ἐγένετο.

Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε Αθηναῖοι ὡς συμβαλέοντες. τοῦ μὲν δεξιοῦ [5] κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος. ὁ γὰρ νόμος [6] εἶχε οὕτω τοῖσι Αθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν· ἡγεομένου δὲ τούτου, ἐξεδέκοντο ὡς ἀριθμέοντο αἱ φυλαὶ, [7] ἐχόμεναι ἀλληλέων. τελευταῖοι δὲ ἐτάσσοντο, ἔχοντες τὸ εὐώνυμον κέρας, Πλαταιέες. ἀπὸ ταύτης γάρ [8] σφι τῆς μάχης, θυσίας Αθηναίων ἀναγόντων ἐς πανηγύριας τὰς ἐν τήσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κήρυξ ὁ Αθηναῖος, ἅμα τε Αθηναίοισι λέγων γίνεσθαι ἀγαθὰ καὶ Πλαταιεῦσι. τότε δὲ τασσομένων τῶν Αθηναίων, ἐν τῷ Μαραθῶνι, ἐγίνετο τοιόνδε τι. τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ—[9] τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας· καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον. τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ.

---

1 προσθῇ. *Vide* above, p. 86. n. 5.

2 ἕλῃ. Sup. τὴν γνώμην.

3 ὡς ἑκάστου —, "as on each of them fell the supreme command for the day."

4 δεκόμενος for δεχόμενος. *Vide* above, p. 72. n. 2.

5 κέρεος for κέρατος.

6 εἶχε. *Vide* above, p. 40. n. 8.

7 ἐχόμεναι ἀλληλέων, "contiguous to one another."

8 σφι — κατεύχεται, "prays for blessings upon them."

9 τὸ μὲν αὐτοῦ —, "the centre was drawn up few ranks deep."

[1] Ὡς δέ σφι διετέτακτο, καὶ τὰ σφάγια ἐγίνετο καλὰ, ἐνθαῦτα ὡς [2] ἀπείθησαν οἱ Αθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. ἦσαν δὲ στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτέων, ἢ ὀκτώ. οἱ δὲ Πέρσαι, ὁρέωντες δρόμῳ ἐπιόντας, παρεσκευάζοντο ὡς δεξόμενοι· μανίην τε τοῖσι Αθηναίοισι [3] ἐπέφερον, καὶ πάγχυ ὀλεθρίην, ὁρέωντες αὐτοὺς ἐόντας ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους, οὔτε ἵππου ὑπαρχούσης σφι, οὔτε τοξευμάτων. ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον. Αθηναῖοι δὲ, ἐπεί τε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο [4] ἀξίως λόγου. πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων, τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ [5] ἀνέσχοντο, ἐσθῆτά τε Μηδικὴν ὁρέωντες, καὶ τοὺς ἄνδρας [6] ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι, χρόνος ἐγένετο πολλός· καὶ [7] τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, [8] τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι [9] ἐτετάχατο. κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες, ἐδίωκον ἐς τὴν μεσόγαιαν. τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Αθηναῖοί τε καὶ Πλαταιέες· νικῶντες δὲ, [10] τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν [11] ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτέων, συναγαγόντες τὰ κέρεα

---

1 ὡς δέ σφι διετέτακτο, "and when a thorough arrangement had been made among them."

2 ἀπείθησαν for ἀφεί. 1 aor. pass. from ἀφίημι. *Vide* above, p. 72. n. 2.

3 ἐπέφερον, "imputed."

4 ἀξίως λόγου, "in a manner worthy of record." Many adverbs govern the same case with the adjectives or verbs to which they are akin.

5 ἀνέσχοντο — ὁρέωντες, "stood firm beholding."

6 ταύτην ἐσθημένους. *Vide* above, p. 64. n. 3.

7 (κατὰ) τὸ μὲν μέσον, "in the middle."

8 τῇ (i. e. ᾗ), "where."

9 ἐτετάχατο for τεταγμένοι ἦσαν. *Vide* Anac. Ode III. v. 5.

10 τὸ μέν. Sup. μέρος.

11 ἔων, contr. for ἔαον, which for εἴαον. *Vide* Anac. Ode III. v. 14.

ἀμφότερα, ἐμάχοντο, καὶ ἐνίκων Αθηναῖοι· φεύγουσι δὲ τοῖσι Πέρσησι εἵποντο κόπτοντες, [1] ἐς ὅ, ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι, πῦρ τε αἴτεον, καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

[2] Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· [3] ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ, Κυναίγειρος ὁ Εὐφορίωνος, ἐνθαῦτα, ἐπιλαβόμενος τῶν ἀφλάστων νηὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Αθηναίων πολλοί τε καὶ ὀνομαστοί. * * * Εν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας· Αθηναίων δὲ ἑκατὸν ἐννενήκοντα καὶ δύο. ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι.

ΕΚ ΤΗΣ ΠΟΛΥΜΝΙΑΣ.

* * *

ΑΡΤΑΒΑΝΟΣ ΚΑΙ ΞΕΡΞΙΣ.

Μαρδόνιος μὲν, τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην, ἐπέπαυτο.—Σιωπώντων δὲ τῶν ἄλλων Περσέων, καὶ οὐ τολμώντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Αρτάβανος ὁ Ὑστάσπεος, πάτρως ἐὼν Ξέρξῃ, [4] τῷ δὴ καὶ πίσυνος ἐὼν, ἔλεγε τάδε, "Ω βασιλεῦ, [5] μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων ἀλλήλῃσι,

---

1 ἐς ὅ, "until."

2 καὶ τοῦτο μὲν — τοῦτο δέ. *Vide* above, p. 75. n. 5.

3 ἀπὸ —, i. e. δὲ ἀπέθανε. *Vide* above, p. 93. n. 5.

4 τῷ δὴ καὶ πίσυνος ἐὼν, "also on this account indeed being confident."

5 μὴ λεχθεισέων, "not having been expressed."

[1] οὐκ ἐστὶ τὴν ἀμείνω, αἱρεόμενον, ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρῆσθαι· λεχθεισέων δὲ, ἐστί· ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον, αὐτὸν μὲν ἐπ' ἑωϋτοῦ, οὐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ, ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας [2] οὐδαμόθι γῆς ἄστυ νέμοντας. ὁ δὲ, ἐλπίζων Σκύθας τοὺς Νομάδας καταστρέψεσθαι, ἐμοί τε οὐκ ἐπείθετο, στρατευσάμενός τε, πολλούς τε καὶ ἀγαθοὺς τῆς στρατιῆς ἀποβαλὼν, ἀπῆλθε. σὺ δὲ, ὦ βασιλεῦ, μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἀμείνονας ἢ Σκύθας. οἱ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι. [3] τὸ δὲ αὐτοῖσι ἔνεστι δεινὸν, ἐμέ σοι δίκαιόν ἐστι φράζειν· [4] ζεύξας φῆς τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα. [5] καὶ δὴ καὶ συνήνεικε, ἢ καὶ κατὰ γῆν, ἢ καὶ κατὰ θάλασσαν, ἐσσωθῆναι, ἢ καὶ κατ' ἀμφότερα (οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι). πάρεστι δὲ καὶ σταθμώσασθαι, εἰ στρατιήν γε τοσαύτην σὺν Δάτι καὶ Αρταφέρνεϊ, ἐλθοῦσαν ἐς τὴν Αττικὴν χώρην, μοῦνοι Αθηναῖοι διέφθειραν. [6] οὔκων ἀμφοτέρῃ σφι ἐχώρησε. ἀλλ' ἢν τῇσι νηυσὶ [7] ἐμβάλωσι, καὶ νικήσαντες ναυμαχίῃ, πλέωσι ἐς τὸν Ἑλλήσποντον, καὶ ἔπειτα λύσωσι τὴν

---

1 οὐκ ἐστὶ — αἱρεόμενον (sup. τινὰ), "it is not possible that one choosing," &c. *Vide* above, p. 6. n. 5.

2 οὐδαμόθι γῆς, "in no part of the earth." The genitive is sometimes put in this manner with adverbs of place and time; as, ἵνα, πόθι, πόθεν, που, ἐνταῦθα, &c. *Vide* above, p. 76. n. 9.

3 τὸ δὲ, *quod vero.*

4 ζεύξας φῆς —, "you speak of marching an army, after having joined the Hellespont," &c.

5 καὶ δὴ καὶ συνήνεικε (from συμφέρω) — ἐσσωθῆναι (for ἡσσωθῆναι, from ἐσσόομαι for ἡσσάομαι), "and now say (or, suppose) it has befallen you to be defeated," &c. The indicative is sometimes put in suppositions, φάθι or νόμισον being defective.

6 οὔκων — σφι ἐχώρησε, "suppose, again, it has not turned out well to them," &c. *Vide* last note.

7 ἐμβάλωσι. *Vide* above, p. 12. n. 1.

γέφυραν,—τοῦτο δὴ, βασιλεῦ, γίνεται δεινόν. ἐγὼ δὲ οὐδεμιῇ σοφίῃ οἰκηΐῃ αὐτὸς συμβάλλομαι ταῦτα· [1] ἀλλ' οἷόν κοτε ἡμέας ὀλίγου ἐδέησε καταλαβεῖν πάθος ὅτε πατὴρ σὸς, ζεύξας Βόσπορον τὸν Θρηΐκιον, γεφυρώσας δὲ ποταμὸν Ἴστρον, διέβη ἐπὶ Σκύθας, τότε [2] παντοῖοι ἐγένοντο Σκύθαι, δεόμενοι [3] Ἰώνων, λῦσαι τὸν πόρον, τοῖσι ἐπετέτραπτο ἡ φυλακὴ τῶν γεφυρέων τοῦ Ἴστρου. καὶ τότε γε Ἱστιαῖος, ὁ Μιλήτου τύραννος, εἰ ἐπέσπετο τῶν ἄλλων τυράννων τῇ γνώμῃ μηδὲ ἠναντιώθη, [4] διέργαστο ἂν τὰ Περσέων πρήγματα.—καί τοι καὶ λόγῳ ἀκοῦσαι δεινὸν, [5] ἐπ' ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα γεγενῆσθαι. σὺ ὦν μὴ βουλεύεο ἐς κίνδυνον μηδένα τοιοῦτον ἀπικέσθαι, μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλ' ἐμοὶ πείθευ. νῦν μὲν τὸν σύλλογον τῶνδε διάλυσον· αὖτίς τε, ὅταν τοι δοκέῃ, προσκεψάμενος ἐπὶ σεωὐτοῦ, προαγόρευε [6] τά τοι δοκέει εἶναι ἄριστα. [7] τὸ γὰρ εὖ βουλεύεσθαι, κέρδος μέγιστον εὑρίσκω ἐόν. [8] εἰ γὰρ καὶ ἐναντιωθῆναί τι θέλει, βεβούλευται μὲν οὐδὲν ἧσσον εὖ, ἔσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευσάμενος αἰσχρῶς, εἴ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕρηκε, ἧσσον δὲ οὐδέν [9] οἱ κακῶς βεβούλευται. ὁρᾷς τὰ ὑπερέχοντα ζῶα ὡς κεραυνοῖ ὁ θεὸς, οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ [10] σμικρὰ οὐδέν μιν κνίζει; ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ

---

1 ἀλλ' οἷόν κοτε —. Construe, ἀλλὰ (διὰ) πάθος οἷόν κοτε —, "but on account of a calamity, such as once wanted little of undoing us," &c.

2 παντοῖοι. *Vide* p. 46. n. 6.

3 Ἰώνων — τοῖσι ἐπετέτραπτο, "of the Ionians, to whom had been intrusted," &c.

4 διέργαστο (for διείρ.; *vide* above, Anac. Ode III. v. 14.) ἂν, "would have been ruined."

5 ἐπὶ, "dependent upon." *Vide* ἐπί.

6 τὰ, *quæ*.

7 τὸ εὖ βουλεύεσθαι, "to deliberate well; mature deliberation." *Vide* above, p. 2. n. 6.

8 εἰ γὰρ καὶ —, "for even if any thing chooses to thwart it, nevertheless good counsel has been taken."

9 οἱ, "by him."

10 σμικρὰ for μικρά.

μέγιστα, ἀεὶ, καὶ δένδρεα τὰ τοιαῦτα ἀποσκήπτει βέλεα; φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται, κατὰ τοιόνδε· ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ, ἢ βροντὴν, [1] δι' ὧν ἐφθάρησαν [2] ἀναξίως ἑωϋτῶν. οὐ γὰρ ἐᾷ [3] φρονέειν ἄλλον μέγα ὁ θεὸς ἢ ἑωϋτόν. [4] ἐπειχθῆναι μέν νυν πᾶν πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γίνεσθαι· ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθὰ, [5] εἰ μὴ παραυτίκα δοκέοντα εἶναι, ἀλλ' ἀνὰ χρόνον ἐξεύροι τις ἄν. σοὶ μὲν δὴ ταῦτα, ὦ βασιλεῦ, συμβουλεύω. σὺ δὲ, ὦ παῖ Γωβρύεω Μαρδόνιε, παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλλήνων οὐκ ἐόντων ἀξίων [6] φλαύρως ἀκούειν. Ἕλληνας γὰρ διαβάλλων ἐπαίρεις αὐτὸν βασιλῆα στρατεύεσθαι. αὐτοῦ δὲ τούτου εἵνεκα δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν. μή νυν οὕτω γένηται. διαβολὴ γάρ ἐστι [7] δεινότατον· ἐν τῇ δύο μέν εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων ἀδικέει, οὐ παρεόντος κατηγορέων· ὁ δὲ ἀδικέει, ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς [8] πρὸς τοῦ ἑτέρου κακὸς εἶναι. ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν ἤθεσι τοῖσι Περσέων μενέτω· ἡμέων δὲ ἀμφοτέρων παραβαλλομένων τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ, ἐπιλεξάμενός τε ἄνδρας τοὺς ἐθέλεις,

---

1 δι' ὧν ἐφθάρησαν. *Vide* above, p. 36. v. 21.; also p. 93. n. 5.

2 ἀναξίως ἑωϋτῶν. *Vide* above, p. 96. n. 4.

3 φρονέειν — μέγα, "to entertain a high thought."

4 ἐπειχθῆναι μέν νυν πᾶν πρῆγμα, "for any thing to be hurried on," &c.

5 εἰ μὴ παραυτίκα —, "if not at present appearing to exist, yet in progress of time any one will discover them."

6 φλαύρως ἀκούειν, *male audire*, "to be evil spoken of."

7 δεινότατον. *Vide* p. 69. v. 19.

8 πρὸς τοῦ ἑτέρου, "by the other." *Vide* πρός.

καὶ λαβὼν στρατὴν ὁκόσην [1] τινὰ βούλεαι. καὶ ἢν μὲν, [2] τῇ σὺ λέγεις, [3] ἀναβαίνῃ βασιλέϊ τὰ πρήγματα, [4] κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι καὶ ἐγώ· ἢν δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν δέ σφι καὶ σὺ, ἢν ἀπονοστήσῃς. εἰ δὲ ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινά φημι τῶν [5] αὐτοῦ τῇδε ὑπολειπομένων, Μαρδόνιον, μέγα τι κακὸν ἐξεργασμένον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων διαφορεύμενον, ἤ κου ἐν γῇ τῇ Αθηναίων, ἤ σέ γε ἐν τῇ Λακεδαιμονίων· εἰ μὴ ἄρα καὶ πρότερον κατ' ὁδὸν, γνόντα ἐπ' οἵους ἄνδρας [6] ἀναγινώσκεις στρατεύεσθαι βασιλῆα."

Αρτάβανος μὲν ταῦτα ἔλεξε. Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοῖσδε, "Αρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελφεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων· καί τοι ταύτην τὴν ἀτιμίην προστίθημι, ἐόντι κακῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἐμοί γε ἐπὶ τὴν Ἑλλάδα, αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί. ἐγὼ δὲ καὶ ἄνευ σέο, ὅσά περ εἶπα, ἐπιτελέα ποιήσω. μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος, τοῦ Αρσάμεος, τοῦ Αρμνεω, τοῦ Τείσπεος, τοῦ Κύρου, τοῦ Καμβύσεω, τοῦ Τείσπεος, τοῦ Αχαιμένεος γεγονὼς, μὴ τιμωρησάμενος Αθηναίους· εὖ ἐπιστάμενος ὅτι εἰ ἡμεῖς [7] ἡσυχίην ἄξομεν, [8] ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν [9] ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι

---

1 τινὰ. *Vide* above, p. 78. n. 7.

2 τῇ (i e. ᾗ), "in what manner; as."

3 ἀναβαίνῃ, "succeed."

4 κτεινέσθων for κτεινέσθωσαν. The Attics and Ionians often identify in form the 3 pers. plur. imperat. with the 3 pers. dual imperat. or with the gen. plur. of the participle; thus also, πασχόντων for πασχέτωσαν, immediately below.

5 αὐτοῦ τῇδε, "here on the spot."

6 ἀναγινώσκεις, "you persuade."

7 ἡσυχίην ἄξομεν, "shall lead (a life of) tranquillity."

8 ἀλλ' οὐκ ἐκεῖνοι, "yet not they."

9 ἡμετέρην. Sup. χώραν.

ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις τε ἐνέπρησαν, καὶ ἤλασαν ἐς τὴν Ασίην. οὔκων ἐξαναχωρέειν οὐδετέροισι [1] δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθέειν προκέεται ἀγών· ἵνα ἢ τάδε πάντα ὑπὸ Ἑλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινὸν, τὸ πείσομαι, τοῦτο μάθω, ἐλάσας ἐπ' ἄνδρας τούτους· τούς γε καὶ Πέλοψ ὁ Φρὺξ, ἐὼν πατέρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω, ὡς, καὶ [2] ἐς τόδε, αὐτοί τε [3] ὡ"νθρωποι, καὶ ἡ γῆ αὐτέων, [4] ἐπώνυμοι τοῦ καταστρεψαμένου καλέονται." ταῦτα μὲν [5] ἐπὶ τοσοῦτο ἐλέγετο.

Μετὰ δὲ, εὐφρόνη τε ἐγίνετο, καὶ Ξέρξεα ἔκνιζε ἡ Αρταβάνου γνώμη. νυκτὶ δὲ [6] βουλὴν διδοὺς, πάγχυ εὕρισκέ [7] οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα.

* * * *

ΞΕΡΞΗΣ ΚΑΙ ΑΡΤΑΒΑΝΟΣ ΕΝ ΑΒΥΔΩ.

Επεὶ δ' ἐγένοντο ἐν Αβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατὸν, καὶ,—προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ, [8] ἐπίτηδες, αὐτῷ, ταύτῃ, προεξέδρη λίθου λευκοῦ· ἐποίησαν δὲ Αβυδηνοὶ, ἐντειλαμένου πρότερον βασιλῆος.—ἐνθαῦτα, ὡς ἵζετο κατορῶν ἐπὶ τῆς ἠιόνος, [9] ἐθηεῖτο καὶ

---

1 δυνατῶς ἔχει, "it is possible (holds itself possibly)." *Vide* above, p. 40. n. 8.

2 ἐς τόδε, "to this hour."

3 ὡ"νθρωποι for οἱ ἄνθρωποι; thus below, ὠνὴρ for ὁ ἀνήρ. *Vide* above, p. 76. n. 9.

4 ἐπώνυμοι, "by the name."

5 ἐπὶ τοσοῦτο, "to such a length."

6 βουλὴν διδοὺς, "having given himself consideration."

7 οἱ οὐ πρῆγμα εἶναι, "that it was no business of his."

8 ἐπίτηδες — ταύτῃ. *Vide* Lexicon.

9 ἐθηεῖτο, from θηέομαι, for θεάομαι.

τὸν πεζὸν καὶ τὰς νέας· θηεύμενος δὲ, ἱμέρθη τῶν νεῶν ἁμιλλαν γενομένην ἰδέσθαι. ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ.

Ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα Ξέρξης ἑωϋτὸν ἐμακάρισε.—μετὰ δὲ τοῦτο, ἐδάκρυσε.

[1] Μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τοπρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως, οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα,—οὗτος ὦ νὴρ, [2] φρασθεὶς Ξέρξεα δακρύσαντα, εἴρετο τάδε, "Ω βασιλεῦ, ὡς πολὺ ἀλλήλων κεχωρισμένα ἐργάσαο, νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωϋτὸν, δακρύεις." ὁ δὲ εἶπε, "[3] Ἐσῆλθε γάρ με, λογισάμενον, κατοικτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τουτέων γε ἐόντων τοσούτων, οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται." ὁ δὲ ἀμείβετο λέγων, "Ἕτερα τούτου, παρὰ τὴν ζόην, πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτω, ἄνθρωπος ἐὼν, εὐδαίμων [4] πέφυκε, οὔτε τουτέων, οὔτε τῶν ἄλλων, [5] τῷ οὐ παραστήσεται πολλάκις, καὶ οὐκὶ ἅπαξ, τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι, καὶ αἱ νοῦσοι συνταράσσουσαι, καὶ βραχὺν ἐόντα, μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ μὲν θάνατος, μοχθηρῆς ἐούσης τῆς ζόης, καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ θεὸς, [6] γλυκὺν γεύσας τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών."

Ξέρξης δὲ ἀμείβετο λέγων, "Ἀρτάβανε, βιοτῆς μέν νυν ἀνθρωπηΐης πέρι, ἐούσης τοιαύτης οἵηνπερ σὺ [7] δι-

---

1 μαθὼν, "having observed."

2 φρασθείς. *Vide* φράζομαι.

3 ἐσῆλθε γάρ με, "for it came upon me." *Vide* above, p. 46. n. 8.

4 πέφυκε. *Vide* φύω.

5 τῷ οὐ παραστήσεται, "to whom it shall not suggest itself."

6 γλυκὺν γεύσας τὸν αἰῶνα, "having made us to taste life as sweet." *Vide* γεύω.

7 διαιρέεαι, for διαιρέῃ, "distinctly state."

αἱρέεαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν [1] μεμνώμεθα, χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί.—Φράσον δέ μοι τόδε, εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ [2] μετέστης ἄν; φέρε, μοι τοῦτο ἀτρεκέως εἰπέ." ὁ δὲ ἀμείβετο λέγων, "Ω βασιλεῦ, ὄψις μὲν ἡ ἐπιφανεῖσα τοῦ ὀνείρου, ὡς βουλόμεθα ἀμφότεροι [3] τελευτήσειε· ἐγὼ δ' ἔτι καὶ [4] ἐς τόδε δείματός εἰμι ὑπόπλεος, [5] οὐδ' ἐντὸς ἐμεωϋτοῦ· ἄλλα τε πολλὰ ἐπιλεγόμενος, καὶ δὴ καὶ ὁρέων τοι δύο τὰ μέγιστα πάντων ἐόντα πολεμιώτατα."

Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοῖσδε, "[6] Δαιμόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις μοι εἶναι δύο πολεμιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ τὸ πλῆθός ἐστι, καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλαπλήσιον ἔσεσθαι τοῦ ἡμετέρου; ἢ τὸ ναυτικὸν τὸ ἡμέτερον [7] λείψεσθαι τοῦ ἐκείνων; ἢ καὶ συναμφότερα ταῦτα; εἰ γάρ τοι ταύτῃ ἐνδεέστερα φαίνεται εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν ταχίστην ἄγερσιν ποιοῖτο."

Ὁ δ' ἀμείβετο λέγων, "Ω βασιλεῦ, οὔτε στρατὸν τοῦτον, [8] ὅστις γε σύνεσιν ἔχει, μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν τὸ πλῆθος· ἢν δὲ πλεῦνας συλλέξῃς, τὰ δύο, τοι, τὰ λέγω, πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτα ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος οὐδαμόθι (ὡς ἐγὼ εἰκάζω) ὅστις, ἐγειρομένου χειμῶνος, δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν,

---

1 μεμνώμεθα, subj. perf. pass. from μνάομαι.

2 μετέστης. *Vide* μεθίστημι.

3 τελευτήσειε. *Vide* above, p. 48. n. 1.; also p. 60. n. 7.

4 ἐς τόδε. *Vide* above, p. 102. n. 2.

5 οὐδ' ἐντὸς ἐμεωϋτοῦ, "nor within myself, i. e. out of myself," *non satis mei compos.*

6 δαιμόνιε ἀνδρῶν, "(most) possessed (or, crazed) of men."

7 λείψεσθαι τοῦ ἐκείνων, "to be about to fall short of theirs."

8 ὅστις γε, "whatsoever person; any person who," &c.

φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καί τοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ[1] παρὰ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν δὴ κομίζεαι· οὔκων δὴ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ[2] τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐκὶ ὦ'νθρωποι τῶν συμφορέων.—καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου[3] εἰρημένου, τὸ ἕτερον ἔρχομαι ἐρέων.—γῆ δὲ πολεμίη[4] τῇδέ τοι κατίσταται.—εἰ ἐθέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη, ὅσῳ ἂν προβαίνοις ἑκαστέρω,[5] τὸ πρόσω αἰεὶ κλεπτόμενος. εὐπρηξίης γὰρ οὐκ ἔστι ἀνθρώποισι οὐδεμίη πληθώρη. καὶ δή τοι[6] ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώρην, [7] πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην, λιμὸν τέξεσθαι. ἀνὴρ δὴ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν, ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη."

Ἀμείβεται Ξέρξης τοῖσδε, "Ἀρτάβανε, εἰκότως μὲν σύ γε τουτέων ἕκαστα διαιρέεαι· ἀτὰρ μήτε πάντα φοβέο, μήτε πᾶν ὁμοίως ἐπιλέγεο. εἰ γὰρ δὴ βούλοιο,[8] ἐπὶ τῷ αἰεὶ ἐπεσφερομένῳ πρήγματι, τὸ πᾶν ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας ἂν οὐδαμᾶ οὐδέν. κρέσσον δὲ, πάντα θαρσέοντα, ἥμισυ τῶν δεινῶν πάσχειν μᾶλλον ἢ, πᾶν χρῆμα προδειμαίνοντα, μηδαμᾶ μηδὲν παθεῖν. [9] εἰ δὲ ἐρίζων πρὸς πᾶν τὸ λεγόμενον, μὴ το βέβαιον ἀποδέξεις, σφάλλεσθαι ὀφείλεις ἐν αὐτοῖσι,[10] ὁμοίως καὶ ὁ

---

1 παρὰ, "near, i. e. on the coast of."

2 τῶν ἀνθρώπων ἄρχουσι, "rule men."

3 εἰρημένου. *Vide* ἐρέω.

4 τῇδε, "in this way."

5 τὸ πρόσω αἰεὶ κλεπτόμενος, "always cheating yourself as to the progress (you make)."

6 ὡς οὐδενὸς ἐναντιευμένου, "on the supposition that nothing opposes you."

7 πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην, "becoming more, the more time you march."

8 ἐπὶ τῷ αἰεὶ —, "upon every subject that presents itself."

9 εἰ δὲ ἐρίζων —, "but if, while you contend against every opinion that is expressed, you yet advance nothing sure yourself, you are doomed," &c.

10 ὁμοίως καὶ, "equally as."

ὑπεναντία τούτοισι λέξας. τοῦτο μέν νυν ἐπίσης ἔχει· [1] εἰδέναι δὲ ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον δοκέω μὲν οὐδαμῶς. τοῖσι τοίνυν βουλομένοισι ποιέειν, [2] ὡς τὸ ἐπίπαν φιλέει γίνεσθαι τὰ κέρδεα· τοῖσι δὲ ἐπιλεγομένοισί τε πάντα καὶ ὀκνεῦσι, οὐ μάλα ἐθέλει. ὁρᾷς τὰ Περσέων πρήγματα [3] ἐς ὃ δυνάμιος προκεχώρηκε; εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ γενόμενοι βασιλῆες γνώμῃσι ἐχρέωντο ὁμοίῃσι καὶ σύ, ἢ μὴ χρεώμενοι γνώμῃσι τοιαύτῃσι, ἄλλους συμβούλους εἶχον τοιούτους, οὐκ ἄν κοτε εἶδες αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ, κινδύνους ἀναῤῥιπτέοντες, ἐς τοῦτό σφεα προηγάγοντο. μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει [4] καταιρέεσθαι. ἡμεῖς τοίνυν, ὁμοιεύμενοι [5] κείνοισι, ὥρην τε τοῦ ἔτεος καλλίστην, πορευόμεθα, καὶ καταστρεψάμενοι πᾶσαν τὴν Εὐρώπην, νοστήσομεν ὀπίσω, οὔτε λιμῷ ἐντυχόντες οὐδαμόθι, οὔτε ἄλλο ἄχαρι οὐδὲν παθόντες. τοῦτο μὲν γὰρ, αὐτοὶ πολλὴν φορβὴν φερόμενοι πορευόμεθα· τοῦτο δὲ, [6] τῶν ἄν κου [7] ἐπιβέωμεν γῆν καὶ ἔθνος, τούτων τὸν σῖτον ἕξομεν. ἐπ' ἀροτῆρας δὲ, καὶ οὐ νομάδας, στρατευόμεθα, ἄνδρας."

Λέγει Αρτάβανος μετὰ ταῦτα, "Ω βασιλεῦ, ἐπεί τε ἀῤῥωδέειν οὐδὲν ἐᾷς πρῆγμα, σὺ δέ μευ συμβουλίην ἔνδεξαι. [8] ἀναγκαίως γὰρ ἔχει, περὶ πολλῶν πρηγμάτων, πλεῦνα λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμβύσεω Ιωνίην πᾶσαν, πλὴν Αθηναίων, κατεστρέψατο δασμοφόρον εἶναι Πέρσῃσι. τούτους ὦν τοὺς ἄνδρας συμ-

---

1 εἰδέναι δὲ ἄνθρωπον ἐόντα (sup. τινὰ; *vide* above, p. 6. n. 5.) κῶς —, "I by no means think that any mere man knows how certainty may be (secured)."

2 ὡς τὸ ἐπίπαν, "upon the whole."

3 ἐς ὃ δυνάμιος, "to what a pitch of power."

4 καταιρέεσθαι for καθ. "to be accomplished."

5 κείνοισι for ἐκείνοις.

6 τῶν, *quorum*.

7 ἐπιβέωμεν for ἐπιβῶμεν, 2 aor. subj. from ἐπιβήμι for ἐπιβαίνω. *Vide* above, p. 38. v. 14.

8 ἀναγκαίως ἔχει, "it is necessary." *Vide* above, p. 40. n. 8.

βουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς πατέρας. καὶ γὰρ, ἄνευ τουτέων, οἷοί τε εἰμὲν τῶν ἐχθρῶν κατυπέρτεροι γίνεσθαι. ἢ γάρ σφεας, ἣν ἔπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι, καταδουλουμένους τὴν μητρόπολιν, ἢ δικαιοτάτους, συνελευθεροῦντας. ἀδικώτατοι μέν νυν γινόμενοι, οὐδὲν κέρδος μέγα ἡμῖν προσβάλλουσι· δικαιότατοι δὲ γινόμενοι, οἷοί τε δηλήσασθαι μεγάλως τὴν σὴν στρατιὴν γίνονται. [1] ἐς θυμὸν ὧν βάλευ καὶ τὸ παλαιὸν ἔπος, ὡς εὖ εἴρηται, [2] τὸ μὴ, ἅμα ἀρχῇ, πᾶν τέλος καταφαίνεσθαι."

Αμείβεται πρὸς ταῦτα Ξέρξης, "Αρτάβανε, [3] τῶν ἀπεφήναο γνωμέων σφάλλεαι κατὰ ταύτην δὴ μάλιστα, ὃς Ιωνας φοβέεαι μὴ μεταβάλλωσι· τῶν ἔχομεν γνῶμα μέγιστον, τῶν σύ τε μάρτυς γίνεαι, καὶ οἱ συστρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι [4] ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι· οἱ δὲ δικαιοσύνην καὶ πιστότητα ἐνέδωκαν, ἄχαρι δὲ οὐδέν· πάρεξ δὲ τούτου, ἐν τῇ [5] ἡμετέρῃ καταλιπόντας τέκνα τε καὶ γυναῖκας καὶ χρήματα, οὐδ' ἐπιλέγεσθαι χρὴ νεώτερόν τι ποιήσειν. οὕτω μηδὲ τοῦτο φοβέο, ἀλλὰ θυμὸν ἔχων ἀγαθὸν, σῶζε οἶκόν τε τὸν ἐμὸν, καὶ τυραννίδα τὴν ἐμήν. σοὶ γὰρ ἐγὼ μούνῳ ἐκ πάντων σκῆπτρα τὰ ἐμὰ [6] ἐπιτράπω."

---

1 ἐς θυμὸν βάλευ, "cast into your mind; let sink deep into your mind."

2 τὸ. The article neuter is often put before entire propositions or single words, that are quoted or emphatical; and marks the expression as inverted commas do in our own language. *Vide* example above, p. 56. n. 4.

3 τῶν, *quarum*.

4 ἐπὶ τούτοισι, "dependent upon these." *Vide* ἐπί.

5 ἡμετέρῃ. Sup. χώρᾳ. *Vide* above, p. 101. n. 9.

6 ἐπιτράπω for ἐπιτρέπω.

III.

E THEOCRITO.

ΘΕΟΚΡΙΤΟΥ ΕΙΔΥΛΛΙΑ.

I.

ΘΥΡΣΙΣ *ποιμὴν, καὶ* ΑΙΠΟΛΟΣ.

ΘΥΡΣΙΣ.

Ἆδυ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,
Ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ.
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταῤῥεῖ 5
Ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.

---

* Theocritus writes in the Doric dialect, which will be reduced to common Greek, as may seem expedient.

I. 1—6. ἁδὺ —. Reduced: ἡδὺ (*vide* Anac. Ode I. v. 3.) τι τὸ ψιθύρισμα καὶ ἡ πίτυς, αἰπόλε, ἐκείνη (*vide* τῆνος), 2. ἡ πρὸς (*vide* ποτὶ) ταῖς πηγαῖς μελίζεται· (thus far translate, "both that pine, O shepherd, which is near the fountains, makes a certain sweet whispering music:") ἡδὺ δὲ καὶ σὺ 3. συρίζεις· — ἀποίσῃ (fut. m. of ἀποφέρω, "I bear off"). 4. εἴκε ἐκεῖνος ἕλῃ κεραὸν τράγον, αἶγα σὺ λήψῃ (*vide* λαμβάνω). 5. εἴκε δ' αἶγα λάβῃ ἐκεῖνος γέρας, ἐς σὲ καταῤῥεῖ ("to thee devolves") 6. ἡ χίμαρος· — ἔστε κε (Poet. for ἂν) ἀμέλξῃς ("until you may have milked it, i. e. till it has brought forth young").

ΑΙΠΟΛΟΣ.

Ἄδιον, ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τᾶν ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ Μῶσαι τὰν ὀΐϊδα δῶρον ἄγωνται,
Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ 10
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξῇ.

ΘΥΡΣΙΣ.

Λῇς, ποτὶ τᾶν νυμφᾶν, λῇς, αἰπόλε, τᾷδε καθίξας,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, ἅτε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἴγας ἐγὼν ἐν τῷδε νομευσῶ.

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις, ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας 16
Τανίκα κεκμακὼς ἀμπαύεται· ἐντί γε πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ, (τὺ γὰρ δὴ, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἶδες,
Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,) 20

7—11. Reduced: ἥδιον, ὦ ποιμὲν, τὸ σὸν μέλος, ἢ τὸ κατηχὲς 8. ἐκεῖνο ἀπὸ τῆς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ (thus far, "more sweetly, O shepherd, *flows* this thy song, than that water murmuring down trickles from the rock from on high"). 9. εἴκε αἱ Μοῦσαι τὴν ὀΐϊδα δῶρον ἄγωνται (*vide* ἄγω), 10. ἄρνα σὺ σηκίτην λήψῃ γέρας· εἰ δέ κε ἀρέσκῃ 11. ἐκείναις ἄρνα λαβεῖν, σὺ δὲ τὴν ὄϊν ὕστερον ἄξῃ (f. m. of ἄγω).

12—14. Reduced: λῇς (*vide* λῶ) πρὸς τῶν νυμφῶν ("in the name of the nymphs"), αἰπόλε, τῇδε καθίσας, 13. ὡς (Att. for πρὸς) τὸ καταντὲς τοῦτο γεώλοφον ("at this sloping mound"), ἥτε μυρῖκαι (sup. εἰσί), 14. συρίζειν (*vide* above, v. 3.) τὰς δ' αἴγας ἐγὼ ἐν τῷδε (sup. χρόνῳ) νομεύσω.

15—18. Reduced: οὐ θέμις, ὦ ποιμὲν, τὸ μεσημβρινὸν ("at noon;" *vide* Anac. Ode I. v. 10.) οὐ θέμις ἡμῖν 16. συρίζειν· τὸν Πᾶνα δεδοίκαμεν (*vide* δείδω)· ἦ γὰρ ἀπὸ ἄγρας 17. τηνίκα κεκμηκὼς (*vide* κάμνω) ἀναπαύεται· ἐστί γε πικρὸς, 18. καί οἱ ἀεὶ δριμεῖα χολὴ πρὸς ῥινὶ ("on his nose") κάθηται.

20—26. Reduced: καὶ τῆς

Δεῦρ', ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῷ τε Πριήπῳ
Καὶ τᾶν Κρανιάδων κατεναντίον, ἅ̓περ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες· αἰ δέ κ' ἀείσῃς,
Ὥς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ἅ̓σας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι, 25
Ἁ, δύ' ἔχοισ' ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας·
Καὶ βαθὺ κισσύβιον, κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον·
Τῷ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν 30
Καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείουσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς. 35
Ἀλλ' ὅκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥίπτει νόον· οἱ δ' ὑπ' ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.

βουκολικῆς ἐπὶ τὸ πλέον ἵκου μούσης ("and you have come to the utmost proficiency in pastoral song"), 21. δεῦρο, ὑπὸ τὴν πτελέαν ἑζώμεθα (*vide* above, v. 2, 3.), τοῦ τε Πριάπου 22. καὶ τῶν Κρηνιάδων κατεναντίον, ᾗπερ (sup. ἐστὶ) ὁ θῶκος 23. ἐκεῖνος ὁ ποιμενικὸς καὶ αἱ (*vide* above, v. 9.) δρύες· εἰ δέ κ' ἀείσῃς, 24. ὥς ποτε τὸν Λιβύηθεν πρὸς Χρόμιν ("against him from Libya, Chromis") ᾖσας ἐρίζων (*vide* above, v. 21.), 25, αἶγά τέ σοι δώσω (*vide* above, v. 4. 11. 14.) διδυματόκον ἐς τρὶς ἀμέλξαι ("to milk for three times"), 26. ἡ, δύο ἔχουσα ἐρίφους, προσαμέλξεται (*vide* above, v. 2. 12.) ἐς δύο πέλλας ("shall yield milk besides, to the amount of two pails").

27. ἁδέϊ καρῷ for ἡδέϊ κηρῷ.

28. γλυφάνοιο ποτόσδον, for γλυφάνου προσόζον (*vide* above, v. 26.), "smelling of the graving-tool."

29. τῷ περὶ μὲν χείλη, "around whose lips."

32. τέτυκται. *Vide* τεύχω.

33. πὰρ for παρά. *Vide* above, p. 70. v. 31.

34. καλὸν ἐθειράζοντες, "nourishing beautiful hair."

35. τὰ ("these things;" *vide* above, p. 3. n. 5.)—αὐτᾶς for αὐτῆς.

36, 37. Reduced: ἀλλ' ὅτε μὲν ("but one while") ἐκεῖνον προσδέρκεται ἄνδρα γελάουσα, 37. ἄλλοτε δὲ ("another while") αὖ πρὸς τὸν (i. e. τοῦτον ἄνδρα) ῥίπτει νόον.

38. κυλοιδιόωντες for —ιάοντες, contr. —ῶντες. — μοχθίζοντι for μοχθίζουσι.

Τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ' ᾗ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει 40
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
Φαίης κεν γυίων νὶν ὅσον σθένος ἐλλοπιεύειν·
Ὧδε οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἄβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος 45
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἁλωά·
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν ἀν' ὄρχως
Φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ', ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνήσειν 50
Φατὶ, πρὶν ἢ 'νάριστον ἐπὶ ξηροῖσι καθίξῃ.
Αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾶ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος, 55
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.

---

39. τοῖς μέτα, "among them."

41. κάμνοντι τὸ καρτερὸν, "labouring strenuously." *Vide* above, Anac. Ode I. v. 10.

42. φαίης κεν γυίων νὶν (for αὐτὸν) —, "you would say that he fishes with all the strength (*lit.* as much as is the strength) of his limbs."

43. ᾠδήκαντι for ᾠδήκασι. *Vide* οἰδέω.

45. τυτθὸν δ' ὅσσον ἄπωθεν, "and just (*lit.* as much as) a little way off from."

46. καλὸν βέβριθεν, "is beautifully laden." *Vide* Anac. Ode I. v. 10.

47. ἐφ' for ἐπὶ, "at, or beside."

48, 49. ἁ (for ἡ) μὲν — ἁ δ', "the one — the other" (*vide* above, p. 92. n. 5.) ἀν' ὄρχως for ἀνὰ ὄρχους (*vide* above, v. 26.) — τρώξιμον (sup. σταφυλήν).

50. τεύχοισα for τεύχουσα. *Vide* above, v. 26.

51. Reduced: φησί. πρὶν ἢ ἀνάριστον ἐπὶ ξηροῖς (sup. ὄρχοις) καθίσῃ, "before she set him dinnerless beside bare *rows*.")

53. ἐφαρμόσδων for ἐφαρμόζων (*vide* above, v. 2. 3. 14. 21.) μέλεται δὲ —, "but neither has he any care (*lit.* is there any care to him) about the scrip."

56. τέρας κέ τυ (for σε) θυμὸν ἀτύξαι, "the portent would startle you as to your mind."

Τῷ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὄνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
Οὐδ' ἔτι πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον, τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν, 60
Αἴκεν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
Κοὔ τοι τὶ φθονέω· πόταγ', ὦ 'γαθὲ· τὰν γὰρ ἀοιδὰν
Οὔτι πα εἰς Ἀΐδαν γε τὸν ἐκλελαθόντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡ 'ξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά. 65
Πᾷ ποκ' ἄρ' ἦθ', ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα, νύμφαι;
Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς. 70
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χώ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαὶ οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο. 75
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δὲ, Δάφνι,

---

57. τῷ for τοῦ (*vide* above, v. 21.), "for this." *Vide* above, p. 65. n. 6.

58. τυρόεντα. Sup. ἄρτον.

59. πα for πη. ποτὶ — θίγεν for προσέθιγεν. *Vide* Anac. Ode III. v. 9. 15. 29.

60. Reduced: τῷ κέν σε — ἀρεσαίμην, "with this I would gratify thee."

62. Reduced: καὶ οὔ σοι τὶ φθονέω· πρόσαγε ("come on;" *vide* above, v. 26. 28. 59.), ὦ ἀγαθὲ· τὴν γὰρ ἀοιδήν.

64—68. Reduced: ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ἀοιδῆς. 65. Θύρσις ὅδε (sup. ἐστὶ) ὁ ἐξ (*vide* above, p. 102. n. 3.) Αἴτνης, καὶ Θύρσιδος ἥδε ἡ φωνή. 66. πῇ ποτὲ ἄρα ἦτε, ὅτε Δάφνις ἐτήκετο, πῇ ποτὲ, νύμφαι; 67. — Πηνειοῦ — Πίνδου; 68. — Ἀνάπου (*vide* above, v. 21. 57).

71, 72. Reduced: ἐκεῖνον μὲν θῶες —, 72. ἐκεῖνον καὶ ὁ ἐκ —.

74. ποσσὶ for ποσὶ, dat. plur. of πούς. *Vide* above, p. 68. v. 9.

77, 78. Reduced: ἦλθε Ἑρμῆς

Τίς τυ κατατρύχει ; τίνος, ὦ 'γαθὲ, τόσσον ἔρασσαι;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ὠπόλοι ἦνθον. 80
Πάντες ἀνηρώτευν, τί πάθοι κακόν· ἦνθ' ὁ Πρίηπος,
Κἤφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα,
Πᾶσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζατεῦσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμάχανος ἐσσί. 85
Βώτας μὰν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.

* * * *

* * * * *

Τὼς δ' οὐδὲν ποτιλέξαθ' ὁ βωκόλος. ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα, 95
Λάθρια μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,
Κῆπε, τὺ θὴν τὸν ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.

πρώτιστος ἀπὸ οὔρεος (or ὄρεος) —. 78. τίς σε κατατρύχει; τίνος, ὦ ἀγαθὲ, τόσον ἔρασαι (*vide* above, v. 74.);

80—83. Reduced: ἦλθον οἱ βοῦται, οἱ ποιμένες, οἱ αἰπόλοι ἦλθον. 81. πάντες ἀνηρώτουν (contr. for ἀνηρώτεον, from ἀνερωτέω for ἀνερωτάω), τί πάθοι κακόν· ἦλθε ὁ Πρίαπος, 82. καὶ ἔφη, Δάφνι τάλαν, τί σὺ τήκῃ; ἡ δέ τε κούρη, 83. πᾶσας ἀνὰ κρήνας, πάντα (sup. ἀνὰ) ἄλσεα ποσὶ φορεῖται.

85, 86. Reduced: ζητοῦσα (contr. for ζητέουσα)· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος εἶς ("ah! you are one difficult in love and unmanageable"). 86. βούτης μὲν ἐλέγου (*vide* above, v. 36. 81) —.

92, 93. Reduced: τοὺς δ' οὐδὲν προσελέξατο ὁ βουκόλος· ἀλλὰ τὸν αὐτοῦ 93. ἤνυε —.

95—98. Reduced: ἦλθέ γε μὲν ἡδεῖα καὶ ἡ Κύπρις γελάουσα, 96. λάθρια μὲν γελάουσα ("secretly smiling indeed"), βαρὺν δὲ θυμὸν ἀνέχουσα (*vide* above, v. 59.), 97. καὶ εἶπε, σὺ — κατεύχου — 98. — ἀργαλέου —.

Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο, Κύπρι βα-
ρεῖα, 100
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
Ἤδη γὰρ φράσδει πάνθ', ἅλιον ἄμμι δεδύκειν·
Δάφνις κ' εἰν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὗ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ἰδὰν, 105
Ἕρπε ποτ' Ἀγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὡραῖος χ' Ὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία τἄλλα διώκει. 110
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
Καὶ λέγε, τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι, 115
Χαίρεθ· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκ ἔτ' ἀν' ὕλαν,
Οὐκ ἔτ' ἀνὰ δρυμὼς, οὐκ ἄλσεα· χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.

100—103. Reduced: τὴν δὲ ἄρα καὶ ὁ Δάφνις προσημείβετο — 101. — νεμεσητὴ — θνητοῖς — 102. — φράζει πάντα, ἥλιον ἡμῖν — 103. — ἐν ἅδῃ —.

105 — 107. Reduced: οὗ ("where") λέγεται (sup. γνῶναι) τὴν Κύπριν — ἕρπε πρὸς Ἴδην 106. ἕρπε πρὸς Ἀγχίσην· ἐκεῖ ("there, i.e. in that part of Ida"), δρύες (sup. εἰσί), ὧδε ("here, i.e. in this or another part of Ida") κύπειρος, 107. ὧδε καλὸν βομβοῦσι πρὸς ("near") σμήνεσι μέλισσαι.

109. Reduced: — καὶ ὁ Ἄδωνις — μῆλα —.

112, 113. Reduced: αὖτις (sup. ὅρα) ὅπως στήσῃ Διομήδεος ἆσσον ἰοῦσα ("see that you take your stand once more going near Diomede," who once, as Homer tells us, sent her up wounded from earth to heaven), 113. — βούτην — μάχου —.

115—118. Reduced: — ἀνὰ οὔρεα (or ὄρεα) — 116. — ὁ βουκόλος ὑμῖν ἐγὼ Δάφνις (sup. εἰμί) — 117. — δρυμοὺς — Ἀρέθουσα, 118. — οἱ χέετε — κατὰ Θύμβριδος ("down Thymbris") —.

Δάφνις ἐγὼν ὅδε τῆνος, ὁ τὰς βόας ὧδε νομεύων, 120
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ Πὰν Πὰν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ' ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε Ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν. 126
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ', ὦ ἄναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ καρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἄϊδος ἔλκομαι ἤδη. 130
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὰς κύνας ὤλαφος ἕλκοι, 135
Κὴξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὼ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὠ Δάφνις ἔᾳ ῥόον, ἔκλυσε δίνα 140
Τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.

120, 121. Reduced: Δάφνις ἐγὼ ὅδε (sup. εἰμὶ) ἐκεῖνος —. 121. — τοὺς ταύρους — ποτίζων.

123—126. Reduced: — εἴτε εἰς κατὰ ὄρεα μακρὰ Λυκαίου, 124. — ἔλθε ἐπὶ νῆσον 125. τὴν Σικελὴν, Ἑλίκης δὲ λίπε Ῥίον ("and leave Rhium *promontory* of Helice"), αἰπύ τε σῆμα 126. ἐκεῖνο Λυκαονίδου — καὶ μακάρεσσιν ("even to the blessed *gods*") —.

128—130. Reduced: ἔλθε, ὦ ἄναξ, καὶ τήνδε φέρε εὐπήκτου — 129. — κηροῦ — καλὴν, περὶ χεῖλος ἑλικτὴν ("bent about the lip"). 130. — ἐς Ἄϊδος (sup. δόμου; *vide* above, p. 63. n. 7.) —.

134. ἐνείκαι, opt. 1 aor. of φέρω.

135, 136. Reduced: — ὁ ἔλαφος ἕλκοι ("let the stag tear"), 136. καὶ ἐξ ὀρέων οἱ σκῶπες ἀηδόσι γηρύσαιντο.

138—140. Reduced: καὶ ὁ μὲν τόσα εἰπὼν ἀπεπαύσατο ("ceased," 1 aor. of ἀποπαύομαι) — 139. — τά γε μὲν λίνα πάντα ἐλελοίπει 140. ἐκ Μοιρῶν ("all the threads *issued* from the fates had failed:") καὶ ὁ Δάφνις ἔᾳ ῥόον ("passed away to the stream)."

Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος· ὥς μιν ἀμέλξας
Σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὕμμιν καὶ ἐς ὕστερον ἄδιον ᾀσῶ. 145

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
Πλῆρές τοι σχαδόνων· καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἀδεῖαν· τέττιγος ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
Ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκασεῖς. 150
Ὧδ' ἴθι, Κισσαίθα, τὺ δ' ἄμελγέ νιν· αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὕμμιν ἀναστῇ.

II.

ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, καὶ ΑΙΠΟΛΟΣ.

ΔΑΦΝΙΔΙ τῷ χαρίεντι συνήντετο βωκολέοντι
Μᾶλα νέμων, ὡς φαντί, κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὧν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας· 5

---

143. δίδου, contr. for διδόε, imperat. of διδόω, same as δίδωμι.

144. σπείσω, subj. 1 aor. from σπένδω.

145. Reduced: — ὑμῖν καὶ ἐς ὕστερον ("at a future period;" *vide* above, v. 25.) ἥδιον ᾄσω.

146. γένοιτο, "may it be." *Vide* above, p. 60. n. 7.

147—150. Reduced: — Αἰγίλου — 148. ἡδεῖαν· — ἐπεὶ σύ γε —. 149. ἠνίδε (*ecce*) — θεάσαι (imperat. 1 aor. of θεάομαι) — ὄζει· 150. ὡρῶν — ἐπὶ κρήναις ("at the fountains of the seasons") —.

151. ὧδε ἴθι, "come hither," — αἱ δὲ χίμαιραι. *Vide* above, p. 17. n. 1.

II. 2—5. Reduced: μῆλα νέμων, ὡς φασί, κατὰ ὄρεα —. 3. — ἀνήβω, 4. — συρίζειν — ἀείδειν. 5. πρῶτος δὲ οὖν πρὸς Δάφνιν —.

ΜΕΝΑΛΚΑΣ.

Μυκητᾶν ἐπίουρε βοῶν, Δάφνι, λῆς μοι ἀεῖσαι;
Φαμὶ τὺ νικασεῖν ὅσσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·

ΔΑΦΝΙΣ.

Ποιμὰν εἰροπόκων ὀΐων, συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴτι πάθοις, τύ γ' ἀείδων. 10

ΜΕΝΑΛΚΑΣ.

Χρῄσδεις ὧν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τί θησεύμεσθ' ὅ κεν ἁμῖν ἄρκιον εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δὲ θές γ' ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ πόκα ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ 15
Χ' ἁ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.

6, 7. Reduced: μυκητῶν — 7. φημὶ σὲ νικάσειν ὅσον θέλω αὐτὸς ἀείδων, "I say that I will conquer you in singing, as much as I myself choose."

10. — οὐδὲ εἴτι πάθοις, σύ γε ἀείδων, "you will never conquer me in singing at least, not even if you should suffer something (in the trial)—*sing to bursting*."

11. Reduced: χρῄζεις οὖν — καταθεῖναι (inf. 2 aor. of κατατίθημι) —.

13. Reduced: — θησόμεθα ὅ κε ἡμῖν —.

14. Reduced: — θήσω· σὺ δὲ θές (imperat. 2 aor. of τίθημι) γε ἰσομήτορα —.

15, 16. Reduced: οὐ θήσω ποτὲ — μοῦ 16. καὶ ἡ μήτηρ· τὰ δὲ μῆλα — ἀριθμοῦσι.

ΔΑΦΝΙΣ.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἐξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ', ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν,
Ταύταν κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ. 20

ΔΑΦΝΙΣ.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἴσον ἄνωθεν,
Πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός γε διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἀμέων; 25

ΜΕΝΑΛΚΑΣ.

Τῆνον πῶς ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες,
Ὦ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ;
Χ' οἱ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακούσας·
Χ' οἱ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὧν ἄειδε λαχὼν ἰϋκτὰ Μενάλκας· 30
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοὶ, θεῖον γένος, αἴ τι Μενάλκας

---

17. Reduced: ἀλλὰ τί μὲν θήσεις; τί δὲ τὸ πλέον ("what gain") ἕξει —.

19, 20. Reduced: — κηρὸν ἔχουσαν — 20. ταύτην καταθείην· — τοῦ πατρὸς οὐ καταθήσω.

21. Reduced: ἦ μέν σοι καὶ ἐγὼ —.

23—25. Reduced: πρώην αὐτὴν συνέπηξα· — 24. — διέτμηξε. 25. ἀλλὰ τίς ἥμας κρινεῖ; τίς ἐπήκοος ἔσεται ἡμῶν.

26—30. Reduced: — πῶς — ἢν καλέσωμεν ("how if we should call"), 27. — πρὸς ("at or near") ταῖς ἐρίφοις — 28. καί οἱ — ἤϋσαν — αἰπόλος ἦλθε — 30. πρῶ-

Πᾷ ποχ' ὁ συρικτὰ προσφιλὲς ᾆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθη 35
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
Μουσίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βωκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι. 40

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοὶ, παντᾶ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρποι,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι 45
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρποι,
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι· 50

τος δὲ, οὖν ἤειδε λαχὼν (*vide* λαγχάνω) ἰύκτης —.

34, 35. Reduced: πῇ ποτὲ ὁ συρικτὴς — ᾖσε — 35. — ἐκ ψυχῆς — ἢν δέ ποτε ἔλθῃ.

37—39. Reduced: κρῆναι — εἴπερ ὁμοιον 38. μουσίζοι Δάφνις ("if Daphnis should make melody similar") — 39. — βουκόλιον — καὶ ἤν τι (sup. βουκόλιον) —.

43, 44. Reduced: ἔνθα ("where") ἡ καλὴ παῖς — 44. καὶ ὁ ποιμὴν (sup. ἐστὶ) ξηρὸς ἐκεῖ, καὶ αἱ βοτάναι.

45. 47. ἔνθα — ἔνθα, "there — where." *Vide* ἔνθα.

48. βῶς for βοῦς, contr. for βόας.

49 — 51. Reduced: — τῶν λευκῶν αἰγῶν ἄνερ, οὗ βάθος ὕλης

Ἐν τήνῳ γὰρ τῆνος· ἴθ' ὦ κόλε, καὶ λέγε Μίλῳ,
Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.

ΔΑΦΝΙΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχεν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ἄσομαι ἀγκὰς ἔχων τύ, 55
Σύννομα μᾶλ' ἐσορῶν, τὰν Σικελὰν ἐς ἅλα.

ΜΕΝΑΛΚΑΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός,
Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα·
Ἀνδρὶ δὲ, παρθενικᾶς ἁπαλᾶς πόθος· ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας. 60
Ταῦτα μὲν ὧν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν.
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Φείδευ τᾶν ἐρίφων, φείδευ, λύκε, τῶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τύ; 65
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὕμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι

μύριον, ὦ σιμαὶ δεῦτε ἐπὶ ὕδωρ ἔριφοι· ἐν ἐκείνῳ γὰρ ἐκεῖνος· ("O husband of the white she-goats; O ye flat-nosed kids, come hither to the water, where (*vide* οὗ) the depth of wood is immense; for in that place is he";) ἴθι, ὦ κόλε (sup. τράγε) καὶ λέγε Μίλῳ.

53, 54. μή μοι — εἴη ἔχεν (for ἔχειν) "be it not mine to possess."

35. — ἀγκὰς ἔχων τὺ (for σὲ), "having thee in my arms." *Vide* ἀγκὰς.

58. ἀγροτέροις. Sup. ζώοις.

59. παρθενικᾶς ἁπαλᾶς πόθος, "desire of the soft virgin bloom."

61. δι' ἀμοιβαίων, "by alternate songs."

63 — 65. Reduced: φείδευ τῶν ἐρίφων — 64. — μικρὸς ἐὼν — 65. — ἔχει σε.

66. οὐ χρὴ, "'tis not proper."

67, 68. Reduced: αἱ δ' ὄϊες, μηδὲ ὕμεις ὀκνεῖτε ἁπαλῆς κορέσασθαι ποίας· οὔτι καμεῖσθε (f. m. of κάμνω) ὅτε πάλιν ἥδε φύηται, "ye

Ποίας· οὔτι καμεῖσθ' ὄκκα πάλιν ἄδε φύηται.
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὤ"ρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν. 71

ΔΑΦΝΙΣ.

Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελεῦντα, καλὸν καλὸν ἦμες ἔφασκεν·
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἶρπον. 75
Ἀδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς·
Ἁδὺ δὲ τῶ θέρεος, παρ' ὕδωρ ῥέον αἰθριοποιτῆν·
Τᾷ δρυΐ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοῖ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί. 80
Ὡς οἱ παῖδες ἄεισαν· ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·

ΑΙΠΟΛΟΣ.

Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά·
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν ἢ μέλι λείχεν.
Λάσδεο τᾶς σύριγγος· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῆς με καὶ αὐτὸν ἄμ' αἰπολέοντα διδάξαι, 85

---

sheep, be not slow to fill yourselves with tender grass; you will not be tired (i. e. of eating) when this grass may have sprung again."

69. *Vide* σίττα.

70. Reduced: ὡς τὸ μὲν οἱ ἄρνες ἔχωσι, τὸ δὲ ἐς ταλάρους ἀπόθωμαι, "that the lambs may have one part, and I may put the other into vessels."

71. ἀνεβάλλετ' ἀείδεν (for ἀείδειν), "made a prelude to sing."

72,73. Reduced: καὶ ἐμὲ ἐκ τοῦ ἄντρου σύνοφρυς κόρα ἐχθὲς ἰδοῦσα τὰς δαμάλας παρελῶντα (contr. for — ελάοντα, from ἐλάω, same as ἐλαύνω), καλὸν (sup. ἐμὲ) εἶναι ἔφασκεν.

74. — ἐκρίθην ἄπο for ἀπεκρίθην, "I answered." *Vide* above, Anac. Ode III. v. 9.

77, 78. Reduced: ἡδὺ δὲ καὶ ὁ μόσχος γηρύεται, ἡδὺ δὲ καὶ ἡ βοῦς· 78. ἡδὺ δὲ τοῦ θέρεος ("in the summer;" *vide* above, p. 14. n. 2.) —.

83,84. Reduced: κρείσσον (sup. ἐστὶ) μελπομένου σοῦ ἀκούειν ἢ μέλι λείχειν. 84. λάζου τῆς σύριγγος.

Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
Ὡς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνάλατο, καὶ πλατάγησε
Νικήσας· οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ 90
Ὅτερος· οὕτω καὶ νύμφα γαμηθεῖσ' ἀκάχοιτο.
Κἠκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

---

87. Reduced: ἥτις ὑπὲρ κεφαλῆς — πληροῖ (contr. for πληρόει).
91 — 93. Reduced: ὁ ἕτερος· — 92. καὶ ἐκ τούτου (sup. χρόνου; *vide* above, p. 94. n. 3.) — πρῶτος ἐγένετο, 93. — Ναΐδα ἔγημεν (1 aor. of γαίμω, in use γαμέω).

IV.

LUCIANI VITARUM AUCTIO.

ΒΙΩΝ ΠΡΑΣΙΣ.

I. ΖΕΥΣ. Σὺ μὲν [1] διατίθει τὰ βάθρα, καὶ παρασκεύαζε τὸν τόπον τοῖς ἀφικνουμένοις· σὺ δὲ στῆσον ἑξῆς παραγαγὼν τοὺς βίους· ἀλλὰ κοσμήσας πρότερον, [2] ὡς εὐπρόσωποι φανοῦνται, καὶ ὅτι πλείστους ἐπάξονται. σὺ δὲ, ὦ Ἑρμῆ, [3] κήρυττε, καὶ συγκάλει [4] ἀγαθῇ τύχῃ τοὺς ὠνητὰς ἤδη παρεῖναι πρὸς τὸ πωλητήριον. ἀποκηρύξομεν δὲ βίους φιλοσόφους παντὸς εἴδους, καὶ προαιρέσεων ποικίλων. εἰ δέ τις οὐκ ἔχει τοπαραυτίκα [5] τἀργύριον καταβαλέσθαι, [6] εἰς νέωτα ἐκτίσει, καταστήσας ἐγγυητήν. ἙΡΜ. Πολλοὶ συνίασιν· ὥστε χρὴ μὴ διατρίβειν, μηδὲ κατέχειν αὐτούς. ΖΕΥΣ. Πωλῶμεν οὖν.

II. ἙΡΜ. Τίνα [7] θέλεις πρῶτον παραγάγωμεν;

---

1 διατίθει, contr. for διατίθεε, imperat. from διατιθέω, in use διατίθημι.

2 ὡς εὐπρόσωποι —, "that they may appear comely, and draw as many purchasers as possible." *Vide* above, p. 9. n. 3.

3 κήρυττε, Att. for κήρυσσε; thus below, τέτταρα for τέσσ. θάλατταν for θάλασσαν, &c.

4 ἀγαθῇ τύχῃ, "with all good fortune."

5 τἀργύριον for τὸ ἀργύριον.

6 εἰς νέωτα, "at the new-year."

7 After θέλεις sup. ὅπως.

ΖΕΥΣ. [1] Τουτονὶ τὸν κομήτην, τὸν Ἰωνικὸν, ἐπεὶ καὶ σεμνός τις εἶναι φαίνεται. ἙΡΜ. [2] Οὗτος ὁ Πυθαγορικὸς, κατάβηθι, καὶ [3] πάρεχε σαυτὸν ἀναθεωρεῖν τοῖς συνειλεγμένοις. ΖΕΥΣ. Κήρυττε δή. ἙΡΜ. Τὸν ἄριστον βίον πωλῶ, τὸν σεμνότατον, τίς ὠνήσεται; τίς ὑπὲρ ἄνθρωπον εἶναι βούλεται; τίς εἰδέναι τὴν [4] τοῦ παντὸς ἁρμονίαν, καὶ ἀναβιῶναι πάλιν; ΑΓΟ. [5] Τὸ μὲν εἶδος, οὐκ ἀγεννής. τί δὲ μάλιστα οἶδεν; ἙΡΜ. Ἀριθμητικὴν, ἀστρονομίαν, τερατείαν, γεωμετρίαν, μουσικὴν, γοητείαν· μάντιν ἄκρον βλέπεις. ΑΓΟ. Ἔξεστιν αὐτὸν ἀνακρίνειν; ἙΡΜ. Ἀνάκρινε ἀγαθῇ τύχῃ.

III. ΑΓΟ. Ποδαπὸς εἶ σύ; [6] ΠΥΘ. Σάμιος. ΑΓΟ. Ποῦ δὲ ἐπαιδεύθης; ΠΥΘ. Ἐν Αἰγύπτῳ, παρὰ τοῖς ἐκεῖ σοφοῖς. ΑΓΟ. Φέρε δὴ, ἢν πρίωμαί σε, τί με διδάξεις; ΠΥΘ. Διδάξω μὲν οὐδὲν, ἀναμνήσω δέ. ΑΓΟ. Πῶς ἀναμνήσεις; ΠΥΘ. Καθαρὰν πρότερον τὴν ψυχὴν ἐργασάμενος, καὶ [7] τὸν ἐπ' αὐτῇ ῥύπον ἐκκλύσας. ΑΓΟ. Καὶ δὴ [8] νόμισον ἤδη κεκαθάρθαί με, τίς ὁ τρόπος τῆς ἀναμνήσεως; ΠΥΘ. Τὸ μὲν πρῶτον, ἡσυχίη μακρὴ, καὶ ἀφωνίη, καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν. ΑΓΟ. [9] Ὥρα σοι, ὦ βέλτιστε, τὸν Κροίσου παῖδα παιδεύειν· ἐγὼ γὰρ λάλος, οὐκ ἀνδριὰς, εἶναι βούλομαι. τί δὲ μετὰ τὴν σιωπὴν, ὅμως, καὶ τὴν πενταετίαν; ΠΥΘ. Μουσουργίη καὶ

---

1 τουτονὶ, Att. for τοῦτον; and below, τουτὶ for τοῦτο, οὐτοσὶ for οὗτος.

2 οὗτος ὁ Πυθαγορικὸς, "you, the Pythagorean." *Vide* above, p. 17. n. 1.

3 πάρεχε —, "present yourself for observation to those gathered together;" συνειλεγμένοις, Att. for συλλελεγμένοις; thus, εἴληφα for λέληφα, εἴληχε for λέληχε, εἴλοχε for λέλοχε, &c.

4 τοῦ παντὸς, "of the universe."

5 Sup. κατὰ, "as to."

6 The Pythagorean is made to speak in the Ionic dialect.

7 τὸν ἐπ' αὐτῇ ῥύπον, "the filth (that is) upon it."

8 νόμισον, "reckon, suppose," *puta*.

9 ὥρα (sup. ἐστὶ), "'tis time."

γεωμετρίῃ ἐνασκήσεαι. ΑΓΟ. [1] Χαρίεν λέγεις, εἰ, πρότερον κιθαρῳδὸν γενόμενον, κᾶτα εἶναι σοφὸν χρή.

IV. ΠΥΘ. Εἶτ' ἐπὶ τουτέοισιν, ἀριθμέειν. ΑΓΟ. Οἶδα καὶ νῦν ἀριθμεῖν. ΠΥΘ. Πῶς ἀριθμέεις; ΑΓΟ. Ἕν, δύο, τρία, τέτταρα. ΠΥΘ. Ὁρᾷς, ἃ σὺ δοκέεις τέτταρα, ταῦτα δέκα εἰσὶ, καὶ τρίγωνον ἐντελὲς, καὶ ἡμέτερον ὅρκιον; ΑΓΟ. Οὔ μὰ τὸν μέγιστον τοίνυν ὅρκον τὰ τέτταρα, οὔ ποτε θειοτέρους λόγους ἤκουσα, οὐδὲ μᾶλλον ἱερούς. ΠΥΘ. Μετὰ δὲ, ὦ ξεῖνε, εἴσεαι γῆς τε πέρι, καὶ ἠέρος, καὶ ὕδατος, καὶ πυρὸς, [2] ἥτις αὐτέοισιν ἡ φορή· καὶ ὁκοῖα ἐόντα μορφὴν, καὶ ὅκως κινέονται. ΑΓΟ. Μορφὴν γὰρ ἔχει τὸ πῦρ, ἢ ἀὴρ, ἢ ὕδωρ; ΠΥΘ. Καὶ μάλα ἐμφανέα· [3] οὐ γὰρ οἷά τε ἀμορφίῃ καὶ ἀσχημοσύνῃ κινέεσθαι. καὶ ἐπὶ τουτέοισι δὲ, γνώσεαι τὸν θεὸν ἀριθμὸν ἐόντα, καὶ ἁρμονίην. ΑΓΟ. Θαυμάσια λέγεις.

V. ΠΥΘ. Πρὸς δὲ [4] τοῖσδεσι τοῖσιν εἰρημένοισι, [5] καὶ σεωῦτὸν ἕνα δοκέοντα, καὶ ἄλλον ὁρεόμενον, καὶ ἄλλον ἐόντα εἴσεαι. ΑΓΟ. Τί φῄς; ἄλλος εἰμὶ, καὶ οὐχ' οὗτος, ὥσπερ νῦν πρὸς σὲ διαλέγομαι; ΠΥΘ. Νῦν μὲν οὗτος, πάλαι δὲ ἐν ἄλλῳ σώματι καὶ ἐν ἄλλῳ ὀνόματι ἐφαντάζεο· χρόνῳ δὲ αὖθις, ἐς ἄλλο μεταβήσεαι. ΑΓΟ. Τοῦτο φῄς, ἀθάνατον ἔσεσθαί με, ἀλλαττόμενον ἐς μορφὰς πλείονας; ἀλλὰ τάδε μὲν ἱκανῶς.

VI. Τὰ δ' ἀμφὶ δίαιταν, ὁποῖός τις εἶ; ΠΥΘ.

---

1 χαρίεν λέγεις —, "you tell a fine story, if it is necessary for me, first being made a musician, then to be a wise man;" κᾶτα for καὶ εἶτα.

2 ἥτις αὐτέοισιν —, "what is their natural motion, and what they are as to form, and how they are stirred."

3 οὐ γὰρ οἷά τε —, "for they are not fit (*lit.* such as) to be moved without form and attitude." *Vide* above, p. 74. n. 4.

4 τοῖσδεσι, Ion. for τοῖσδε, from ὅδε.

5 καὶ σεωῦτὸν —, "you shall also know yourself, seeming one, to be one person in appearance, and another in reality."

Ψυχήϊον μὲν οὐδὲ ἕν τι σιτέομαι· τὰ δ' ἄλλα, πλὴν κυάμων. ΑΓΟ. Τίνος εἵνεκα μυσάττῃ τοὺς κυάμους; ΠΥΘ. [1] Οὔκ· ἀλλ' ἱεροί εἰσι, καὶ θαυμαστὴ αὐτῶν ἡ φύσις. πρῶτον μὲν γὰρ, [2] τὸ πᾶν γονή εἰσι· καὶ ἢν ἀποδύσῃς κύαμον ἔτι χλωρὸν ἐόντα, ὄψεαι τοῖσιν ἀνδρείοισι μορίοισιν ἐμφερέα τὴν φυήν. [3] ἐψηθέντι δὲ ἢν ἐπαφῇς τὴν σεληναίην νυξὶ μεμετρημένησιν, αἷμα ποιήσεις. [4] τὸ δὲ μεῖζον, Ἀθηναίοισι νόμος, κυάμοισι τὰς ἀρχὰς αἱρέεσθαι. ΑΓΟ. Καλῶς πάντα ἔφης, καὶ ἱεροπρεπῶς. ἀλλ' ἀπόδυθι, καὶ γυμνὸν γάρ σε ἰδεῖν βούλομαι. ὦ Ἡράκλεις, χρυσοῦς αὐτῷ ὁ μηρός ἐστι. θεὸς, οὐ βροτός τις εἶναι φαίνεται· ὥστε ὠνήσομαι πάντως αὐτόν. πόσου τοῦτον ἀποκηρύττεις; ΈΡΜ. Δέκα μνῶν. ΑΓΟ. [5] Ἔχω, τοσούτου λαβών. ΖΕΥΣ. Γράφε τοῦ ὠνησαμένου τοὔνομα, καὶ ὅθεν ἐστίν. ΈΡΜ. Ἰταλιώτης, ὦ Ζεῦ, δοκεῖ τις εἶναι, τῶν ἀμφὶ Κρότωνα, καὶ Τάραντα, καὶ [6] τὴν ταύτῃ Ἑλλάδα. καίτοι οὐχ εἷς, ἀλλὰ τριακόσιοι σγεδὸν [7] ἐώνηνται κατὰ κοινὸν αὐτόν. ΖΕΥΣ. Ἀπαγέτωσαν· ἄλλον παραγάγωμεν.

VII. ΈΡΜ. Βούλει τὸν αὐχμῶντα ἐκεῖνον, τὸν Ποντικόν; ΖΕΥΣ. Πάνυ μὲν οὖν. ΈΡΜ. Οὗτος, ὁ [8] τὴν πήραν ἐξηρτημένος, ὁ ἐξωμίας, ἐλθὲ, καὶ περίϊθι ἐν κύκλῳ τὸ συνέδριον· βίον ἀνδρικὸν πωλῶ, βίον ἄριστον, καὶ γεννικὸν βίον ἐλεύθερον· τίς ὠνήσεται; ΑΓΟ.

---

1 οὔκ, "I do not abominate them."

2 τὸ πᾶν γονή εἰσι, "they are entirely (member of) generation."

3 ἐψηθέντι. Sup. τινι. *Vide* above, p. 6. n. 5.

4 τὸ δὲ μεῖζον —, "and what is greater, it is a law with the Athenians, to choose their magistrates by beans."

5 ἔχω —, "I have him, taking him at so much." *Vide* above, p. 65. n. 6.

6 τὴν ταύτῃ Ἑλλάδα, "the Greece in that quarter."

7 ἐώνηνται κατὰ κοινὸν αὐτὸν, "have purchased him in common." *Vide* above, p. 20. n. 1.

8 τὴν πήραν —, "having the wallet suspended to you." *Vide* above, p. 64. n. 3.

[1] Ὁ κῆρυξ, πῶς ἔφης; πωλεῖς τὸν ἐλεύθερον; ΕΡΜ. Ἔγωγε. ΑΓΟ. Εἶτα οὐ δέδιας μή [2] σοι δικάσηται ἀνδραποδισμοῦ, ἢ καὶ προκαλέσηταί σε ἐς Ἄρειον πάγον; ΕΡΜ. Οὐδὲν αὐτῷ μέλει τῆς πράσεως· οἴεται γὰρ εἶναι παντάπασιν ἐλεύθερος. ΑΓΟ. [3] Τί δ' ἄν τις αὐτῷ χρήσαιτο, ῥυπῶντι, καὶ οὕτω κακοδαιμόνως διακειμένῳ; πλὴν εἰ μὴ σκαπανέα γε καὶ ὑδροφόρον [4] αὐτὸν ἀποδεικτέον. ΕΡΜ. Οὐ μόνον, ἀλλὰ καὶ ἢν θυρωρεῖν αὐτὸν ἐπιστήσῃς, πολὺ πιστοτέρῳ χρήσῃ τῶν κυνῶν. ἀμέλει, [5] κύων αὐτῷ καὶ τοὔνομα. ΑΓΟ. Ποδαπὸς δέ ἐστι, καὶ τίνα τὴν ἄσκησιν ἐπαγγέλλεται; ΕΡΜ. Αὐτὸν ἐροῦ· κάλλιστον γὰρ οὕτω ποιεῖν. ΑΓΟ. Δέδια τὸ [6] σκυθρωπὸν αὐτοῦ, καὶ κατηφὲς, μή με ὑλακτήσῃ προσελθόντα, ἢ καὶ νὴ Δία δάκῃ γε. οὐχ ὁρᾷς ὡς διῆρκε τὸ ξύλον, καὶ συνέσπακε τὰς ὀφρῦς, καὶ ἀπειλητικόν τι καὶ χολῶδες ὑποβλέπει; ΕΡΜ. Μὴ δέδιθι· τιθασσὸς γάρ ἐστι.

VIII. ΑΓΟ. Τὸ πρῶτον, ὦ βέλτιστε, ποδαπὸς εἶ; ΔΙΟ. Παντοδαπός. ΑΓΟ. Πῶς λέγεις; ΔΙΟ. Τοῦ κόσμου πολίτην ὁρᾷς. ΑΓΟ. Ζηλοῖς δὲ τίνα; ΔΙΟ. Τὸν Ἡρακλέα. ΑΓΟ. Τί οὖν οὐχὶ καὶ λεοντῆν ἀμπέχῃ; τὸ μὲν γὰρ ξύλον ἔοικας αὐτῷ. ΔΙΟ. Τουτί μοι λεοντῆ τὸ τριβώνιον. στρατεύομαι δὲ ὥσπερ ἐκεῖνος ἐπὶ τὰς ἡδονὰς, οὐ κελευστὸς, ἀλλ' ἑκούσιος, ἐκκαθάραι τὸν βίον προαιρούμενος. ΑΓΟ. [7] Εὖγε τῆς προαιρέσεως. ἀλλὰ τί μάλιστα εἰδέναι σε φῶμεν; ἢ τίνα

---

1 ὁ κῆρυξ, "you herald." *Vide* above, p. 17. n. 1.

2 σοι —, "raise an action against you for kidnapping."

3 τί (sup. ἐς), "for what purpose." An accusative is often put with the verb χρῆσθαι (which takes also the dative of an *instrument*), in order to point out the *use* or *end;* ἐς being defective.

4 αὐτὸν ἀποδεικτέον, "one must render him."

5 Menippus was κυνικὸς, *a cynic.*

6 σκυθρωπόν. Sup. εἶδος, "appearance or character."

7 εὖγε τῆς προαιρέσεως, "a noble choice!" The genitive is very often used in exclamations, with or without an interjection.

τὴν τέχνην ἔχεις; ΔΙΟ. Ἐλευθερωτής εἰμι τῶν ἀνθρώπων, καὶ ἰατρὸς τῶν παθῶν. [1] τὸ δ' ὅλον, ἀληθείας καὶ παῤῥησίας προφήτης εἶναι βούλομαι.

IX. ΑΓΟ. Ἄγε, ὦ προφῆτα, ἢν δὲ πρίωμαί σε, [2] τίνα με τὸν τρόπον διασκήσεις; ΔΙΟ. Πρῶτον μὲν παραλαβών σε, καὶ ἀποδύσας τὴν τρυφὴν, καὶ ἀπορίᾳ συγκατακλείσας, τριβώνιον περιβαλῶ. μετὰ δὲ, πονεῖν καὶ κάμνειν καταναγκάσω, χαμαὶ καθεύδοντα, καὶ ὕδωρ πίνοντα, καὶ [3] ὧν ἔτυχε πιμπλάμενον. τὰ δὲ χρήματα, ἢν ἔχῃς, ἐμοὶ πειθόμενος, ἐς τὴν θάλατταν φέρων ἐμβαλεῖς. γάμου δ' ἀμελήσεις, καὶ παίδων, καὶ πατρίδος· καὶ πάντα σοι λῆρος ἔσται· καὶ τὴν πατρῴαν οἰκίαν ἀπολιπὼν, ἢ τάφον οἰκήσεις, ἢ πυργίον ἔρημον, ἢ καὶ πίθον. ἡ πήρα δέ σοι θέρμων ἔσται μεστὴ, καὶ ὀπισθογράφων βιβλίων. καὶ οὕτως ἔχων, εὐδαιμονέστερος εἶναι φήσεις τοῦ μεγάλου βασιλέως. ἢν μαστιγοῖ δέ τις, ἢ στρεβλοῖ, τούτων οὐδὲν ἀνιαρὸν ἡγήσῃ. ΑΓΟ. [4] Πῶς τοῦτο φῂς τὸ μὴ ἀλγεῖν μαστιγούμενον; οὐ γὰρ χελώνης, ἢ καράβου [5] τὸ δέρμα περιβέβλημαι. ΔΙΟ. Τὸ Εὐριπίδειον ἐκεῖνο ζηλώσεις, μικρὸν ἐναλλάξας. ΑΓΟ. Τὸ ποῖον; ΔΙΟ. Ἡ φρὴν σοι ἀλγήσει, ἡ δὲ γλῶσσα ἔσται ἀνάλγητος.

X. Ἃ δὲ μάλιστα δεῖ προσεῖναι, ταῦτά ἐστιν· ἰταμὸν χρὴ εἶναι, καὶ θρασὺν, καὶ λοιδορεῖσθαι πᾶσιν ἑξῆς, καὶ βασιλεῦσι, καὶ ἰδιώταις· οὕτω γὰρ ἀποβλέψονταί σε, καὶ ἀνδρεῖον ὑπολήψονται. βάρβαρος δὲ ἡ φωνὴ ἔσται,

---

1 τὸ δ' ὅλον (sup. κατὰ), "as to, or upon, the whole:" —προφήτης, "a preacher."

2 Sup. κατὰ, "according to."

3 ὧν (resolved, ἐκείνων ἃ) ἔτυχε πιμπλάμενον, "filling yourself with those things which have casually presented themselves to you."

4 πῶς τοῦτο φῂς τὸ μὴ (sup. τινὰ) ἀλγεῖν μαστιγούμενον; "how do you assert this, that I shall not feel pain (*lit.* the one's not feeling pain) being flogged?" *Vide* above, p. 6. n. 5.

5 τὸ δέρμα περιβέβλημαι. *Vide* above, p. 64. n. 3.

καὶ ἀπηχὲς τὸ φθέγμα, καὶ ἀτεχνῶς ὅμοιον κυνί. καὶ πρόσωπον δὲ ἐντεταμένον, καὶ βάδισμα τοιούτῳ προσώπῳ πρέπον. καὶ ὅλως, θηριώδη τὰ πάντα, καὶ ἄγρια. αἰδὼς δὲ, καὶ ἐπιείκεια, καὶ μετριότης ἀπέστω. καὶ τὸ ἐρυθριᾶν ἀπόξυσον τοῦ προσώπου παντελῶς. δίωκε δὲ τὰ πολυανθρωπώτατα τῶν χωρίων. καὶ ἐν αὐτοῖς τούτοις μόνος, καὶ ἀκοινώνητος εἶναι θέλε, μὴ φίλον, μὴ ξένον προσιέμενος· κατάλυσις γὰρ τὰ τοιαῦτα [1] τῆς ἀρχῆς. ἐν ὄψει δὲ πάντων, ἃ [2] μηδ' ἰδίᾳ ποιήσειεν ἄν τις, [3] θαῤῥῶν ποίει· καὶ τῶν ἀφροδισίων αἱροῦ τὰ γελοιώτατα· καὶ [4] τέλος, ἤν σοι δοκῇ, πολύποδα ὠμὸν, ἢ σηπίαν φαγὼν, ἀπόθανε. [5] ταύτην σοι τὴν εὐδαιμονίαν προξενοῦμεν.

XI. ΑΓΟ. Ἄπαγε. μιαρὰ γὰρ, καὶ οὐκ ἀνθρώπινα λέγεις. ΔΙΟ. Ἀλλὰ ῥᾷστά γε, ὦ οὗτος, καὶ πᾶσιν εὐχερῆ μετελθεῖν. οὐ γάρ σοι δεήσει παιδείας, καὶ λόγων, καὶ πήρων, ἀλλ' ἐπίτομος αὕτη σοι πρὸς δόξαν ἡ ὁδός. καὶ ἰδιώτης γὰρ ἂν ᾖς, ἤτοι σκυτοδέψης, ἢ ταριχοπώλης, ἢ τέκτων, ἢ τραπεζίτης, οὐδέν σε κωλύσει θαυμάσιον εἶναι, ἢν μόνον ἡ ἀναίδεια, καὶ τὸ θράσος παρῇ, καὶ λοιδορεῖσθαι καλῶς ἐκμάθῃς. ΑΓΟ. Πρὸς ταῦτα μὲν οὐ δέομαί σου. ναύτης δ' ἂν ἴσως ἢ κηπωρὸς ἐν καιρῷ γένοιο· καὶ ταῦτα, ἤν ἐθέλῃ σε ἀποδόσθαι οὑτοσὶ [6] τὸ μέγιστον δύ' ὀβολῶν. ΕΡΜ. Ἔχε λαβών· καὶ γὰρ ἄσμενοι ἀπαλλαξόμεθα, ἐνοχλοῦντος αὐτοῦ, καὶ βοῶντος, καὶ ἅπαντας ἀπαξαπλῶς ὑβρίζοντος καὶ ἀγορεύοντος κακῶς.

---

1 τῆς ἀρχῆς, "of your supremacy."

2 μηδ' ἰδίᾳ, "not even in private."

3 θαῤῥῶν. *Vide* above, p. 12. n. 2.

4 τέλος (sup. εἰς), "for a finish; at last." Substantives in the accusative are sometimes taken adverbially, a preposition being defective.

5 ταύτην —, "this happiness we hold forth as your bill of fare."

6 Sup. κατὰ, "as to, or at, the greatest price."

XII. ΖΕΥΣ. Ἄλλον κάλει, τὸν Κυρηναῖον, τὸν ἐν τῇ πορφυρίδι, τὸν ἐστεφανωμένον. ΕΡΜ. Ἄγε δή, πρόσεχε πᾶς. πολυτελὲς τὸ χρῆμα, καὶ πλουσίων δεόμενον. βίος οὗτος ἡδύς, βίος τρισμακάριστος. τίς ἐπιθυμεῖ τρυφῆς; τίς ὠνεῖται τὸν ἀβρότατον; ΑΓΟ. Ἐλθὲ σύ, καὶ λέγε ἅπερ εἰδὼς τυγχάνεις. ὠνήσομαι γάρ σε, ἢν ὠφέλιμος ᾖς. ΕΡΜ. Μὴ ἐνόχλει αὐτόν, ὦ βέλτιστε; μηδ' ἀνάκρινε, μεθύει γάρ· ὥστε οὐκ ἂν ἀποκρίναιτό σοι, τὴν γλῶτταν, ὡς ὁρᾷς, διολισθαίνων. ΑΓΟ. Καὶ τίς ἂν [1] εὖ φρονῶν, πρίαιτο διεφθαρμένον οὕτω καὶ ἀκόλαστον ἀνδράποδον; ὅσωι δὲ καὶ ἀπόζει μύρων· [2] ὡς δὲ, καὶ σφαλερὸν βαδίζει, καὶ παράφορον. ἀλλὰ [3] κἂν σύ, ὦ Ἑρμῆ, λέγε ὁπόσα πρόσεστιν αὐτῷ, καὶ [4] ἃ μετιὼν τυγχάνει. ΕΡΜ. Τὸ μὲν ὅλον, συμβιῶναι δεξιὸς, καὶ συμπιεῖν ἱκανὸς, καὶ κωμάσαι μετὰ αὐλητρίδος ἐπιτήδειος ἐρῶντι καὶ ἀσώτῳ δεσπότῃ. τἄλλα δὲ πεμμάτων ἐπιστήμων, καὶ ὀψοποιὸς ἐμπειρότατος. καὶ ὅλως σοφιστὴς ἡδυπαθείας· ἐπαιδεύθη μὲν οὖν Ἀθήνησιν. ἐδούλευσε δὲ καὶ περὶ Σικελίαν τοῖς τυράννοις, καὶ σφόδρα ἠυδοκίμει παρ' αὐτοῖς. τὸ δὲ κεφάλαιον τῆς προαιρέσεως, ἁπάντων καταφρονεῖν, ἅπασι χρῆσθαι, πανταχόθεν ἐρανίζεσθαι τὴν ἡδονήν. ΑΓΟ. Ὥρα σοι ἄλλον περιβλέπειν τῶν πλουσίων τούτων, καὶ πολυχρημάτων· ἐγὼ δὲ οὐκ ἐπιτήδειος ἱλαρὸν ὠνεῖσθαι βίον. ΕΡΜ. Ἄπρατος ἔοικεν, ὦ Ζεῦ, οὗτος ἡμῖν μένειν.

XIII. ΖΕΥΣ. Μετάστησον· ἄλλον παράγαγε· [5] μᾶλλον δὲ τὼ δύο τούτω, τὸν γελῶντα τὸν Ἀβδηρόθεν, καὶ τὸν κλαίοντα τὸν ἐξ Ἐφέσου. ἅμα γὰρ αὐτὼ

---

1 εὖ φρονῶν, "in sound mind."

2 ὡς δὲ —, "and how staggeringly and swaggeringly he walks."

3 κἂν σύ — λέγε. *Vide* above, p. 65. n. 1.

4 ἃ μετιὼν τυγχάνει, "what things he perchance follows after." *Vide* above, p. 41. n. 9.

5 μᾶλλον δὲ (not ἢ μᾶλλον), "or rather."

πεπρᾶσθαι βούλομαι. ΕΡΜ. Κατάβητον ἐς τὸ μέσον. τὼ ἀρίστω βίω πωλῶ· τὼ σοφωτάτω πάντων ἀποκηρύττομαι. ΑΓΟ. Ὦ Ζεῦ, τῆς ἐναντιότητος. ὁ μὲν οὐ [1] διαλείπει γελῶν, ὁ δέ τινα ἔοικε πενθεῖν· δακρύει γὰρ τοπαράπαν. [2] τί ταῦτ', ὦ οὗτος, τί γελᾷς; [3] ΔΗΜ. Ἐρωτᾷς; ὅτι μοι γελοῖα πάντα δοκέει τὰ πράγματα ὑμέων, καὶ αὐτοὶ ὑμέες. ΑΓΟ. Πῶς λέγεις; καταγελᾷς ἡμῶν ἁπάντων, καὶ [4] παρ' οὐδὲν τίθεσαι τὰ ἡμέτερα πράγματα; ΔΗΜ. Ὧδε ἔχει. σπουδαῖον γὰρ ἐν αὐτέοισιν οὐδέν. κενὰ δὲ τὰ πάντα, καὶ ἀτόμων φορὴ, καὶ ἀπειρίη. ΑΓΟ. Οὔμενουν, ἀλλὰ σὺ κενὸς [5] ὡς ἀληθῶς, καὶ ἄπειρος. ὦ τῆς ὕβρεως, οὐ παύσῃ γελῶν.

XIV. Σὺ δὲ τί κλάεις, ὦ βέλτιστε; [6] πολὺ γὰρ οἶμαι κάλλιον σοὶ προσλαλεῖν. ΗΡΑ. Ἡγέομαι γὰρ, ὦ ξένε, τὰ ἀνθρώπινα πρήγματα οἰζυρὰ, καὶ δακρυώδεα, καὶ οὐδὲν αὐτέων ὅ, τι μὴ ἐπικήριον· [7] τῷ δὴ οἰκτείρω τε σφέας καὶ ὀδύρομαι. καὶ τὰ μὲν παρεόντα οὐ δοκέω μεγάλα, τὰ δ' ὑστέρῳ χρόνῳ ἐσόμενα, πάμπαν ἀνιηρά. λέγω δὲ τὰς ἐκπυρώσιας καὶ τὴν τοῦ ὅλου συμφορήν. ταῦτ' ὀδύρομαι, καὶ ὅτι ἔμπεδον οὐδὲν, [8] ἀλλάκως εἰς κυκεῶνα πάντα συνειλέονται, καί ἐστι [9] τωὐτὸ τέρψις, ἀτερψίη· γνῶσις, ἀγνωσίη· μέγα, μικρόν· ἄνω κάτω περιχορεύοντα, καὶ ἀμειβόμενα ἐν τῇ τοῦ αἰῶνος παιδιῇ. ΑΓΟ. Τί γὰρ ὁ αἰών ἐστι;

---

1 διαλείπει γελῶν. *Vide* above, p. 36. v. 11.

2 τί ταῦτ', ὦ οὗτος; "what is this, you fellow?" *Vide* above, p. 17. n. 1.

3 Democritus and Heraclitus use the Ionic dialect.

4 παρ' οὐδὲν τίθεσαι, "set at (*lit.* near) nought."

5 ὡς ἀληθῶς. *Vide* above, p. 60. n. 5.

6 πολὺ γὰρ οἶμαι κάλλιον, "for I think it much better."

7 τῷ, "on this account." *Vide* above, p. 97. n. 4.

8 ἀλλάκως —, "but somehow all things are whirled round into a jumble;" ἀλλάκως for ἀλλὰ πῶς.

9 τωὐτὸ for τὸ αὐτὸ, "the same thing."

Ἡρα. Παῖς παίζων, πεσσεύων, [1] διαφερόμενος. ΑΓΟ. Τί δαὶ οἱ ἄνθρωποι; Ἡρα. Θεοὶ θνητοί. ΑΓΟ. Τί δαὶ οἱ θεοί; Ἡρα. Ἄνθρωποι ἀθάνατοι. ΑΓΟ. Αἰνίγματα λέγεις, ὦ οὗτος, ἢ γρίφους συντιθεῖς· ἀτεχνῶς γὰρ, ὥσπερ ὁ Λοξίας, οὐδὲν ἀποσαφεῖς. Ἡρα. Οὐδὲν γάρ μοι μέλει ὑμέων. ΑΓΟ. Τοιγαροῦν οὐδὲ ὠνήσεταί σε [2] εὖ φρονῶν. Ἡρα. Ἐγὼ δὲ κέλομαι πᾶσιν [3] ἠβηδὸν οἰμώζειν, τοῖσιν ὠνεομένοισι, καὶ τοῖσιν οὐκ ὠνεομένοισι. ΑΓΟ. Τουτὶ τὸ κακὸν οὐ [4] πόῤῥω μελαγχολίας ἐστὶν, οὐδ' ἕτερον ἔγωγε αὐτῶν ὠνήσομαι. Ἑρμ. Ἄπρατοι καὶ οὗτοι μένουσιν. ΖΕΥΣ. Ἄλλον ἀποκήρυττε.

xv. Ἑρμ. Βούλει τὸν Ἀθηναῖον ἐκεῖνον, τὸν στωμύλον; ΖΕΥΣ. Πάνυ μὲν οὖν. Ἑρμ. Δεῦρ' ἐλθὲ σύ. βίον ἀγαθὸν, καὶ συνετὸν ἀποκηρύττομεν. τίς ὠνεῖται τὸν ἱερώτατον; ΑΓΟ. Εἰπέ μοι, τί μάλιστα εἰδὼς τυγχάνεις; ΣΩΚ. Παιδεραστής εἰμι, καὶ σοφὸς [5] τὰ ἐρωτικά. ΑΓΟ. Πῶς οὖν ἐγὼ πρίωμαί σε; παιδαγώγου γὰρ ἐδεόμην, τῷ παιδὶ καλῷ ὄντι μοι. ΣΩΚ. Τίς δ' ἂν ἐπιτηδειότερος ἐμοῦ γένοιτο συνεῖναι καλῷ; καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. ἀμέλει, κἂν [6] ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσῃ αὐτῶν λεγόντων μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν. ΑΓΟ. Ἄπιστα λέγεις, [7] τὸ παιδεραστὴν ὄντα, μὴ πέρα τῆς ψυχῆς τι πολυπραγ-

---

1 διαφερόμενος, mid. "differing from itself."

2 εὖ φρονῶν. Sup. τις. *Vide* above, p. 6. n. 5.

3 ἠβηδὸν, "in troops."

4 πόῤῥω μελαγχολίας, "far from frenzy."

5 τὰ ἐρωτικὰ, "as to affairs of love."

6 ὑπὸ ταὐτὸν ἱμάτιόν μοι, "under the same covering with me."

7 τὸ (sup. τινὰ) παιδεραστὴν ὄντα, μὴ — τι πολυπραγμονεῖν, "that one who is a lover of boys, does not meddle with (*lit.* the one's not meddling with) any thing." *Vide* above, p. 128. n. 4.

μονεῖν· καὶ ταῦτα, [1] ὑπ' ἐξουσίας, ἐν τῷ αὐτῷ ἱματίῳ κατακείμενον.

XVI. ΣΩΚ. Καὶ μὴν [2] ὀμνύω γέ σοι τὸν κύνα, καὶ τὴν πλάτανον οὕτω ταῦτ' ἔχειν. ΑΓΟ. Ἡράκλεις τῆς ἀτοπίας τῶν θεῶν. ΣΩΚ. Τί σὺ λέγεις; οὐ δοκεῖ σοι ὁ κύων εἶναι θεός; οὐχ ὁρᾷς τὸν Ἄνουβιν ἐν Αἰγύπτῳ [3] ὅσος; καὶ τὸν ἐν οὐρανῷ Σείριον, καὶ τὸν παρὰ τοῖς κάτω Κέρβερον.

XVII. ΑΓΟ. Εὖ λέγεις· ἐγὼ δὲ διημάρτανον. ἀλλὰ τίνα βιοῖς τὸν τρόπον; ΣΩΚ. Οἰκῶ μὲν [4] ἐμαυτῷ τινὰ πόλιν ἀναπλάσας, χρῶμαι δὲ πολιτείᾳ ξένῃ, καὶ νόμους νομίζω τοὺς ἐμούς. ΑΓΟ. Ἐν [5] ἐβουλόμην ἀκοῦσαι τῶν δογμάτων. ΣΩΚ. Ἄκουε δὴ τὸ μέγιστον, ὃ περὶ τῶν γυναικῶν μοι δοκεῖ· δοκεῖ μηδεμίαν αὐτῶν μηδενὸς εἶναι μόνου, [6] παντὶ δὲ μετεῖναι τῷ βουλομένῳ τοῦ γάμου. ΑΓΟ. [7] Τί τοῦτο φῄς; ἀνῃρῆσθαι τοὺς περὶ μοιχείας νόμους; ΣΩΚ. Νὴ Δία, καὶ ἁπλῶς γε πᾶσαν τὴν περὶ τὰ τοιαῦτα μικρολογίαν. ΑΓΟ. Τί δὲ περὶ τῶν [8] ἐν ὥρᾳ παίδων σοι δοκεῖ; ΣΩΚ. Καὶ οὗτοι ἔσονται τοῖς ἀρίστοις ἆθλον φιλῆσαι, λαμπρόν τι καὶ νεανικὸν ἐργασαμένοις.

XVIII. ΑΓΟ. Βαβαὶ τῆς φιλοδωρίας. τῆς δὲ σοφίας, τί σοι τὸ κεφάλαιον; ΣΩΚ. Αἱ ἰδέαι, καὶ τὰ τῶν ὄντων παραδείγματα. ὁπόσα γὰρ δὴ ὁρᾷς, τὴν γῆν,

---

1 ὑπ' ἐξουσίας, "under (as if crowned with) power or opportunity."

2 ὀμνύω γε —, "I swear to you by the dog and the plane-tree."

3 ὅσος, "how great he is."

4 ἐμαυτῷ — ἀναπλάσας, "having built anew, or afresh, for myself." *Vide* ἀνά.

5 ἐβουλόμην ἀκοῦσαι, "I would hear."

6 παντὶ δὲ —, "but that there be a share of marriage to every one that wishes it."

7 τί τοῦτο φῄς; "what is this you say?"

8 ἐν ὥρᾳ, "in the season (of seasons); in youth."

τἀπὶ γῆς, τὸν οὐρανὸν, τὴν θάλατταν, ἁπάντων τούτων εἰκόνες ἀφανεῖς ἑστᾶσιν ἔξω τῶν ὅλων. ΑΓΟ. Ποῦ δὲ ἑστᾶσιν; ΣΩΚ. Οὐδαμοῦ. εἰ γάρ που [1] εἶεν, οὐκ ἂν εἶεν. ΑΓΟ. Οὐχ ὁρῶ ταῦθ', ἅπερ λέγεις τὰ παραδείγματα. ΣΩΚ. Εἰκότως. τυφλὸς γὰρ εἶ τῆς ψυχῆς τὸν ὀφθαλμόν· ἐγὼ δὲ, πάντων ὁρῶ εἰκόνας, καὶ σὲ ἀφανῆ, κἀμὲ ἄλλον. καὶ ὅλως, διπλᾶ πάντα. ΑΓΟ. Τοιγαροῦν ὠνητέος εἶ, σοφὸς, καὶ ὀξυδερκής τις ὤν. [2] φέρ' ἴδω τί καὶ πράξεις με ὑπὲρ αὐτοῦ σύ. ΈΡΜ. Δὸς δύο τάλαντα. ΑΓΟ. Ὠνησάμην ὅσου φῄς. τἀργύριον μέν τοι [3] ἐς αὖθις καταβαλῶ.

XIX. ΈΡΜ. Τί οὖν σοι τοὔνομα; ΑΓΟ. Δίων Συρακούσιος. ΈΡΜ. [4] Ἄγε λαβὼν ἀγαθῇ τύχῃ. τὸν Ἐπικούρειον σὲ ἤδη καλῶ. τίς ὠνεῖται τοῦτον; ἔστι μὲν τοῦ γελῶντος ἐκείνου μαθητὴς, καὶ τοῦ μεθύοντος, οὓς μικρῷ πρόσθεν ἀπεκηρύττομεν. ἓν δὲ πλέον οἶδεν αὐτῶν, [5] παρόσον ἀσεβέστερος τυγχάνει· τὰ δ' ἄλλα, ἡδὺς, καὶ λιχνείᾳ φίλος. ΑΓΟ. Τίς ἡ τιμή; ΈΡΜ. Δύο μναῖ. ΑΓΟ. Λάμβανε· [6] τὸ δεῖνα δὲ ὅπως ἴδω, τίσι χαίρει τῶν ἐδεσμάτων; ΈΡΜ. Τὰ γλυκέα σιτεῖται, καὶ μελιτώδη, καὶ μάλιστα τὰς ἰσχάδας. ΑΓΟ. Χαλεπὸν μὲν οὐδέν. ὠνήσομαι γὰρ αὐτῷ παλάθας τῶν καρικῶν.

XX. ΖΕΥΣ. Ἄλλον κάλει, τὸν [7] ἐν χρῷ κουρίαν ἐκεῖνον, τὸν σκυθρωπὸν, τὸν ἀπὸ τῆς στοᾶς. ΈΡΜ.

---

1 εἶεν, Att. for εἴησαν, opt. from εἰμί, *sum*; thus, ἐνδοῖεν for ἐνδοίησαν, ἀφεῖεν for ἀφείησαν, opt. 2 aor. from ἀφίημι.

2 φέρ' ἴδω —, "come, let me see what you will exact (*lit.* make) of me for him." *Vide* πράσσω.

3 ἐς αὖθις. *Vide* above, p. 110. v. 25.

4 ἄγε, "bear him off."

5 παρόσον (i. e. παρὰ ὅσον) ἀσεβέστερος (ὢν) τυγχάνει, "inasmuch as (*lit.* by how much) he chances to be more impious."

6 τὸ δεῖνα —, "but that I may know this." When the article is put for a dem. pronoun, the word δεῖνα is often joined to it.

7 ἐν χρῷ κουρίαν, "shaven close to the skin."

Εὖ λέγεις· ἐοίκασι δ' οὖν πολύ τι πλῆθος αὐτὸν περιμένειν τῶν περὶ τὴν ἀγορὰν ἀπηντηκότων· αὐτὴν τὴν ἀρετὴν πωλῶ, τὸν βίον τὸν τελειότατον· τίς πάντα μόνος εἰδέναι θέλει; ΑΓΟ. Πῶς τοῦτο φής; ΈΡΜ. Ὅτι μόνος οὗτος σοφὸς, μόνος καλὸς, μόνος δίκαιος, ἀνδρεῖος, βασιλεὺς, ῥήτωρ, πλούσιος, νομοθέτης, καὶ τἄλλα, ὁπόσα ἐστίν. ΑΓΟ. Οὐκοῦν, ὦ 'γαθὲ, καὶ μάγειρος μόνος; καὶ νὴ Δία γε σκυτοδέψης, καὶ τέκτων, καὶ τὰ τοιαῦτα. ΈΡΜ. Ἔοικεν.

XXI. ΑΓΟ. Ἐλθὲ, ὦ 'γαθὲ, καὶ λέγε πρὸς τὸν ὠνητὴν ἐμὲ ποῖός τις εἶ, καὶ πρῶτον εἰ οὐκ ἄχθη πιπρασκόμενος καὶ δοῦλος ὤν; ΧΡΥΣ. Οὐδαμῶς· οὐ γὰρ [1] ἐφ' ἡμῖν ταῦτά ἐστιν. [2] ὅσα δὲ οὐκ ἐφ' ἡμῖν ἀδιάφορα εἶναι συμβέβηκεν. ΑΓΟ. Οὐ μανθάνω [3] ᾗ λέγεις. ΧΡΥΣ. Τί φής; οὐ μανθάνεις ὅτι τῶν τοιούτων τὰ μέν ἐστι [4] προηγμένα, τάδ' ἔμπαλιν ἀποπροηγμένα; ΑΓΟ. Οὐδὲ νῦν μανθάνω. ΧΡΥΣ. Εἰκότως. οὐ γὰρ εἶ συνήθης τοῖς ἡμετέροις ὀνόμασιν, οὐδὲ καταληπτικὴν φαντασίαν ἔχεις· ὁ δὲ σπουδαῖος ὁ τὴν λογικὴν θεωρίαν ἐκμαθὼν, οὐ μόνον ταῦτ' οἶδεν, ἀλλὰ καὶ σύμβαμα, καὶ παρασύμβαμα, [5] ὁποίων καὶ ὁπόσων ἀλλήλων διαφέρει. ΑΓΟ. [6] Πρὸς τῆς φιλοσοφίας, μὴ φθονήσῃς κἂν τοῦτο εἰπεῖν ὅ, τι σύμβαμα, καὶ τί παρασύμβαμα. καὶ γὰρ [7] οὐκ οἶδ' ὅπως ἐπλήγην ὑπὸ

---

1 ἐφ' ἡμῖν, "dependent upon us." *Vide* ἐπί.

2 ὅσα δὲ— , "and it has so happened, that as many things as are not dependent upon us, are indifferent."

3 ᾗ, "in what way; with what drift." *Vide* ᾗ.

4 προηγμένα — ἀποπροηγμένα, "preferred — rejected."

5 ὁποίων —, "in respect of what and how many things they differ from one another." The Greek genitive has often the general sense, "with respect to."

6 πρὸς τῆς —, "for philosophy's sake, do not grudge to tell me this too." πρὸς is often used in adjurations. *Vide* example above, p. 109. v. 12.

7 οὐκ οἶδ' ὅπως ἐπλήγην, "I don't know how I was struck."

τοῦ ῥυθμοῦ τῶν ὀνομάτων. ΧΡΥΣ. Ἀλλ' [1] οὐδεὶς φθόνος. ἢν γάρ τις χωλὸς ὤν, αὐτῷ ἐκείνῳ τῷ χωλῷ ποδὶ προσπταίσας λίθῳ, τραῦμα [2] ἐξ ἀφανοῦς λάβῃ, ὁ τοιοῦτος εἶχε μὲν δή που σύμβαμα τὴν χωλείαν, τὸ τραῦμα δὲ, παρασύμβαμα προσέλαβεν.

XXII. ΑΓΟ. Ὦ τῆς ἀγχινοίας· τί δ' ἄλλο μάλιστα φῂς εἰδέναι; ΧΡΥΣ. Τῶν λόγων πλεκτάνας, αἷς συμπεδίζω τοὺς προσομιλοῦντας, καὶ ἀποφράττω, καὶ σιωπᾶν ποιῶ, φιμὸν ἀτεχνῶς αὐτοῖς περιτιθείς. ὄνομα δὲ τῇ δυνάμει ταύτῃ, ὁ ἀοίδιμος συλλογισμός. ΑΓΟ. Ἡράκλεις, ἄμαχόν τινα, καὶ βίαιον λέγεις. ΧΡΥΣ. Σκόπει γοῦν· ἔστι σοι παιδίον; ΑΓΟ. Τί μήν; ΧΡΥΣ. Τοῦτο ἤν πως κροκόδειλος ἁρπάσῃ, πλησίον ποταμοῦ πλαζόμενον εὑρὼν, κἄτά σοι ἀποδώσειν ὑπισχνεῖται αὐτὸ, ἤν εἴπῃς τἀληθὲς [3] ὅ, τι δέδοκται περὶ τῆς ἀποδόσεως τοῦ βρέφους, τί φήσεις αὐτὸν [4] ἐγνωκέναι; ΑΓΟ. Δυσαπόκριτον ἐρωτᾷς. ἀπορῶ γὰρ [5] ὁπότερον εἰπὼν ἀπολάβοιμι. ἀλλὰ σὺ [6] πρὸς Διός ἀποκρινάμενος, ἀνάσωσαί μοι τὸ παιδίον, [7] μὴ καὶ φθάσῃ αὐτὸ καταπιών. ΧΡΥΣ. Θάῤῥει. καὶ ἄλλα γάρ σε διδάξομαι θαυμασιώτερα. ΑΓΟ. Τὰ ποῖα; ΧΡΥΣ. Τὸν [8] θερίζοντα, καὶ τὸν κυριεύοντα, καὶ [9] ἐπὶ πᾶσι τὴν Ἠλέκτραν, καὶ τὸν ἐγκεκαλυμμένον. ΑΓΟ. Τίνα τοῦτον τὸν ἐγκεκαλυμμένον, ἢ τίνα τὴν Ἠλέκτραν λέγεις; ΧΡΥΣ. Ἠλέκτραν μὲν ἐκείνην [10] τὴν

---

1 οὐδεὶς φθόνος, "(there is) no grudge."

2 ἐξ ἀφανοῦς, "from an unforeseen source; unexpectedly."

3 ὅ, τι δέδοκται, "what has seemed good to it; what determination it has made."

4 ἐγνωκέναι, "has purposed."

5 ὁπότερον εἰπὼν, "which of the two having affirmed, i. e. whether that it means to give up the child, or that it does not."

6 πρὸς Διός, "for Jove's sake." *Vide* above, p. 135. n. 6.

7 μὴ καὶ —, "lest he even anticipate (by) swallowing it up." *Vide* above, p. 35. v. 4.

8 θερίζοντα. Sup. συλλογισμόν.

9 ἐπὶ πᾶσι, "above all."

10 τὴν πάνυ, "the illustrious." *Vide* above, p. 63. n. 8.

πάνυ, τὴν Ἀγαμέμνονος, ἢ τὰ αὐτὰ οἶδέ τε ἅρμα, καὶ οὐκ οἶδε. παρεστῶτος γὰρ αὐτῇ τοῦ Ὀρέστου ἔτι ἀγνῶτος, οἶδε μὲν Ὀρέστην, ὅτι ἀδελφὸς αὐτῆς· ὅτι δὲ οὗτος Ὀρέστης, ἀγνοεῖ. [1] τὸν δ' αὖ ἐγκεκαλυμμένον, καὶ πάνυ θαυμαστὸν ἀκούσῃ λόγον· ἀπόκριναι γάρ μοι, τὸν πατέρα οἶσθα τὸν σεαυτοῦ; ΑΓΟ. Ναί. ΧΡΥΣ. Τί οὖν; ἤν σοι παραστήσας τινὰ ἐγκεκαλυμμένον, ἔρωμαι, τοῦτον οἶσθα, τί φήσεις; ΑΓΟ. Δηλαδὴ ἀγνοεῖν.

XXIII. ΧΡΥΣ. Ἀλλὰ μὴν αὐτὸς οὗτος ἦν ὁ πατὴρ ὁ σός. ὥστε εἰ τοῦτον ἀγνοεῖς, [2] δῆλος εἶ τὸν πατέρα τὸν σὸν ἀγνοῶν. ΑΓΟ. Οὔμενουν· ἀλλ' ἀποκαλύψας αὐτὸν εἴσομαι τὴν ἀλήθειαν. ὅμως δ' οὖν τί σοι τῆς σοφίας τὸ τέλος, ἢ τί πράξεις πρὸς τὸ [3] ἀκρότατον τῆς ἀρετῆς ἀφικόμενος; ΧΡΥΣ. [4] Περὶ τὰ πρῶτα κατὰ φύσιν καταγενήσομαι. λέγω δὲ πλοῦτον, ὑγιείαν, καὶ τὰ τοιαῦτα. πρότερον δὲ ἀνάγκη πολλὰ προπονῆσαι, λεπτογράφοις βιβλίοις παραθήσοντα τὴν ὄψιν, καὶ σχόλια συναγείροντα, καὶ σολοικισμῶν ἐμπιπλάμενον, καὶ ἀτόπων ῥημάτων. καὶ τὸ κεφάλαιον, οὐ θέμις γενέσθαι σοφὸν, ἢν μὴ τρὶς ἐφεξῆς [5] τοῦ ἐλλεβόρου πίῃς. ΑΓΟ. Γενναῖά σου ταῦτα, καὶ δεινῶς ἀνδρικά. [6] τὸ δὲ γνίφωνα εἶναι, καὶ τοκογλύφον (καὶ γὰρ τάδε ὁρῶ σοι προσόντα) τί φῶμεν, ἀνδρὸς ἤδη πεπωκότος τὸν ἐλλέβορον, καὶ τελείου πρὸς ἀρετήν;

---

1 Sup. κατὰ, "as to."

2 δῆλος εἶ — ἀγνοῶν, "you are detected (*lit.* manifest) as not knowing."

3 ἀκρότατον. Sup. μέρος. *Vide* above, p. 19. n. 5.

4 περὶ τὰ —, "I shall be familiar with the chief goods pertaining to nature."

5 τοῦ ἐλλεβόρου πίῃς. *Vide* above, Anacreon, Ode VI. v. 3.

6 τὸ δὲ γνίφωνα εἶναι —, "but as to the being a Gnipho, and a usurer (for I see these characters also attaching to you), what shall we say? (that they are the characters) of a man who has already drunk the hellebore, and is consummate with respect to virtue?"

ΧΡΥΣ. Ναί. μόνῳ οὖν τὸ δανείζειν πρέποι ἂν τῷ σοφῷ. ἐπεὶ γὰρ ἴδιον αὐτῷ συλλογίζεσθαι, τὸ δανείζειν δὲ, καὶ λογίζεσθαι τοὺς τόκους, πλησίον εἶναι δοκεῖ τοῦ συλλογίζεσθαι, [1] μόνου ἂν εἴη τοῦ σπουδαίου καθάπερ ἐκεῖνο, καὶ τοῦτο. καὶ οὐ μόνον γε ἁπλῶς, ὥσπερ οἱ ἄλλοι, τοὺς τόκους, ἀλλὰ καὶ τούτων ἑτέρους τόκους λαμβάνειν. ἢ γὰρ ἀγνοεῖς ὅτι τῶν τόκων οἱ μέν εἰσι πρῶτοί τινες, οἱ δὲ δεύτεροι, καθάπερ αὐτῶν ἐκείνων ἀπόγονοι; ὁρᾷς δὲ δῆτα καὶ τὸν συλλογισμὸν ὁποῖά φησιν, "εἰ τὸν πρῶτον τόκον λήψεται, [2] καὶ τὸν δεύτερον. ἀλλὰ μὴν καὶ τὸν πρῶτον λήψεται, ἄρα καὶ τὸν δεύτερον."

XXIV. ΑΓΟ. Οὐκοῦν καὶ [3] μισθῶν πέρι τὰ αὐτὰ φῶμεν, οὓς σὺ λαμβάνεις [4] ἐπὶ τῇ σοφίᾳ παρὰ τῶν νέων, καὶ δῆλον ὅτι μόνος ὁ σπουδαῖος μισθὸν ἐπὶ τῇ ἀρετῇ λήψεται; ΧΡΥΣ. Μανθάνεις. οὐ γὰρ ἐμαυτοῦ εἵνεκα λαμβάνω, τοῦ δὲ διδόντος αὐτοῦ [5] χάριν. ἐπεὶ γάρ ἐστιν ὁ μέν τις ἐκχύτης, ὁ δὲ, περιεκτικὸς, ἐμαυτὸν μὲν ἀσκῶ εἶναι περιεκτικὸν, τὸν δὲ μαθητὴν, ἐκχύτην. ΑΓΟ. Καὶ μὴν τοὐναντίον ἔφης, τὸν νέον μὲν εἶναι περιεκτικὸν, σὲ δὲ τὸν μόνον πλούσιον, ἐκχύτην. ΧΡΥΣ. Σκώπτεις, ὦ οὗτος· ἀλλ' ὅρα μή σε ἀποτοξεύσω ἀναποδείκτῳ συλλογισμῷ. ΑΓΟ. Καὶ τί δεινὸν ἀπὸ τοῦ βέλους; ΧΡΥΣ. Ἀπορία, καὶ σιωπὴ, καὶ διαστραφῆναι τὴν διάνοιαν.

XXV. Ὁ δὲ μέγιστον, ἢν ἐθέλω τάχιστά σε ἀποδείξω λίθον. ΑΓΟ. Πῶς λίθον; οὐ γὰρ Περσεὺς, ὦ βέλτιστε, εἶναί μοι δοκεῖς. ΧΡΥΣ. Ὡδέπως. ὁ λίθος σῶμα ἐστί; ΑΓΟ. Ναί. ΧΡΥΣ. Τί δὲ,

---

1 μόνου ἂν εἴη τοῦ σπουδαίου, "should be the business of the philosopher alone."

2 καί. Sup. λήψεται.

3 μισθῶν πέρι, "concerning the fees."

4 ἐπὶ τῇ σοφίᾳ, "for your wisdom."

5 χάριν (sup. εἰς), "for the sake of." *Vide* above, p. 129. n. 4.

τὸ ζῶον, οὐ σῶμα; ΑΓΟ. Ναί. ΧΡΥΣ. Σὺ δὲ, ζῶον; ΑΓΟ. Ἔοικα γοῦν. ΧΡΥΣ. Λίθος ἄρα εἶ, σῶμα ὤν. ΑΓΟ. Μηδαμῶς. ἀλλ' ἀνάλυσόν με πρὸς τοῦ Διός, καὶ [1] ἐξ ὑπαρχῆς ποίησον ἄνθρωπον. ΧΡΥΣ. Οὐ χαλεπὸν, ἀλλ' ἔμπαλιν ἴσθι ἄνθρωπος. εἰπὲ γάρ μοι, πᾶν σῶμα, ζῶον; ΑΓΟ. Οὔ. ΧΡΥΣ. Τί δὲ; λίθος ζῶον; ΑΓΟ. Οὔ. ΧΡΥΣ. Σὺ δὲ σῶμα εἶ; ΑΓΟ. Ναί. ΧΡΥΣ. Σῶμα δὲ ὤν, ζῶον εἶ; ΑΓΟ. Ναί. ΧΡΥΣ. Οὐκ ἄρα λίθος εἶ, ζῶόν γε ὤν. ΑΓΟ. Εὖγε ἐποίησας· ὡς ἤδη μου τὰ σκέλη, καθάπερ τῆς Νιόβης, ἀπεψύχετο, καὶ πάγια ἦν· ἀλλὰ ὠνήσομαί γε σέ. πόσον ὑπὲρ αὐτοῦ καταβαλῶ; ΈΡΜ. Μνᾶς δώδεκα. ΑΓΟ. Λάμβανε. ΈΡΜ. Μόνος δ' αὐτὸν ἐώνησαι; ΑΓΟ. Μὰ Δί', ἀλλ' οὗτοι πάντες, οὓς ὁρᾷς. ΈΡΜ. Πολλοί γε, καὶ τοὺς ὤμους καρτεροὶ, καὶ τοῦ θερίζοντος λόγου ἄξιοι.

XXVI. ΖΕΥΣ. Μὴ διάτριβε· ἄλλον κάλει. ΈΡΜ. Τὸν Περιπατητικόν σε φημὶ, τὸν καλὸν, τὸν πλούσιον. ἄγε δὴ, ὠνήσασθε τὸν συνετώτατον, τὸν πάντα ὅλως ἐπιστάμενον. ΑΓΟ. Ποῖος δέ τις ἐστί; ΈΡΜ. Μέτριος, ἐπιεικὴς, ἁρμόδιος τῷ βίῳ, τὸ δὲ μέγιστον, διπλοῦς. ΑΓΟ. Πῶς λέγεις; ΈΡΜ. Ἄλλος μὲν ὁ ἔκτοθεν φαινόμενος, ἄλλος δὲ ὁ ἔντοσθεν εἶναι δοκεῖ· ὥστε ἢν πρίῃ αὐτὸν, μέμνησο, τὸν μὲν, ἐσωτερικὸν, τὸν δὲ, ἐξωτερικὸν καλεῖν. ΑΓΟ. Τί δὲ γιγνώσκει μάλιστα; ΈΡΜ. Τρία εἶναι τὰ ἀγαθὰ, ἐν ψυχῇ, ἐν σώματι, ἐν τοῖς ἐκτός. ΑΓΟ. [2] Ἀνθρώπινα φρονεῖ. πόσου δέ ἐστιν; ΈΡΜ. Εἴκοσι μνῶν. ΑΓΟ. Πολὺ λέγεις. ΈΡΜ. Οὐκ, ὦ μακάριε· καὶ γὰρ αὐτὸς ἔχειν τι ἀργύριον δοκεῖ. ὥστε [3] οὐκ ἂν φθάνοις ὠνούμενος· ἔτι

---

1 ἐξ ὑπαρχῆς, "anew."

2 ἀνθρώπινα φρονεῖ, "he understands things interesting to man."

3 οὐκ ἂν —, "you could not be too quick in buying him." *Vide* above, p. 41. n. 9.

δὲ εἴση [1] αὐτίκα μάλα παρ' αὐτοῦ, πόσον μὲν ὁ κώνωψ βιοῖ τὸν χρόνον, ἐφ' ὅσον δὲ βάθος ἡ θάλασσα ὑπὸ τοῦ ἡλίου καταλάμπεται, καὶ ὁποῖά τις ἐστὶν ἡ ψυχὴ τῶν ὀστρέων. ΑΓΟ. Ἡράκλεις, τῆς ἀκριβολογίας. ΈΡΜ. Τί δὲ, εἰ ἀκούσοις ἄλλα πολλὰ τούτων ὀξυδερκέστερα, γονῆς τε πέρι, καὶ γενέσεως, καὶ τῆς ἐν ταῖς μήτραις τῶν ἐμβρύων [2] πλαστικῆς; καὶ ὡς ἄνθρωπος μὲν [3] γελαστικὸν, ὄνος δὲ οὐ γελαστικὸν, οὐδὲ τεκταινόμενον, οὐδὲ πλωϊζόμενον; ΑΓΟ. Πάνσεμνα φῄς, καὶ ὀνησιφόρα τὰ μαθήματα· ὥστε ὠνοῦμαι αὐτὸν εἴκοσιν.

XXVII. ΈΡΜ. [4] Εἶεν. τίς λοιπὸς ἡμῖν καταλέλειπται; ὁ Σκεπτικὸς οὗτος σὺ, ὁ Πυῤῥίας, πρόσιθι, καὶ ἀποκηρύττου [5] κατὰ τάχος. ἤδη μὲν ὑπορρέουσιν οἱ πολλοὶ, καὶ ἐν ὀλίγοις ἡ πράσις ἔσται. ὅμως δὲ, τίς καὶ τοῦτον ὠνεῖται; ΑΓΟ. Ἔγωγε. ἀλλ' οὖν πρῶτον εἰπέ μοι, σὺ τί ἐπίστασαι; ΦΙΛ. Οὐδέν. ΑΓΟ. Πῶς τοῦτ' ἔφησθα; ΦΙΛ. Ὅτι οὐδὲν ὅλως εἶναί μοι δοκεῖ. ΑΓΟ. Οὐδὲ ἡμεῖς ἄρα ἐσμὲν τινές; ΦΙΛ. Οὐδὲ τοῦτο οἶδα. ΑΓΟ. Οὐδ' ὅτι σὺ τὶς ὢν τυγχάνεις; ΦΙΛ. Πολὺ μᾶλλον ἔτι τοῦτ' ἀγνοῶ. ΑΓΟ. Ὦ τῆς ἀπορίας. τί δαί σοι τὰ στάθμια ταυτὶ βούλεται; ΦΙΛ. Ζυγοστατῶ ἐν αὐτοῖς τοὺς λόγους, καὶ [6] πρὸς τὸ ἴσον ἀπευθύνω. καὶ ἐπειδὰν ἀκριβῶς ὁμοίους τε καὶ ἰσοβαρεῖς ἴδω, τότε δὴ ἀγνοῶ τὸν ἀληθέστερον. ΑΓΟ. Τῶν ἄλλων δὲ τί ἂν πράττοις ἐμμελῶς; ΦΙΛ. Τὰ πάντα, πλὴν δραπέτην μεταδιώκειν. ΑΓΟ. Τί δαὶ τοῦτό σοι ἀδύνατον; ΦΙΛ.

---

1 αὐτίκα μάλα, "very speedily." *Vide* above, p. 57. n. 7.

2 πλαστικῆς (sup. δυνάμεως), "plastic power."

3 γελαστικόν. *Vide* above, p. 69. v. 19.

4 εἶεν (sup. ταῦτα), "let these things be; be it so." *Vide* above, p. 134. n. 1.

5 κατὰ τάχος, "according to celerity; quickly."

6 πρὸς τὸ ἴσον, "to equality." *Vide* above, Anac. Ode II. v. 5.

Ὅτι, ὦ γαθὲ, οὐ καταλαμβάνω. ΑΓΟ. Εἰκότως· βραδὺς γὰρ, καὶ νωθής τις εἶναι δοκεῖς. ἀλλὰ τί σοι τὸ τέλος τῆς ἐπιστάσεως; ΦΙΛ. Ἡ ἀμαθία, καὶ τὸ μήτε ἀκούειν μήτε ὁρᾶν. ΑΓΟ. Οὐκοῦν καὶ κωφὸς ἅμα, καὶ τυφλὸς εἶναι λέγεις; ΦΙΛ. Καὶ ἄκριτός γε προσέτι, καὶ ἀναίσθητος, καὶ ὅλως, τοῦ σκώληκος οὐδὲν διαφέρων. ΑΓΟ. Ὠνητέος εἶ διὰ ταῦτα. πόσου τοῦτον ἄξιον χρὴ [1] φάναι; ΈΡΜ. Μνᾶς Ἀττικῆς. ΑΓΟ. Λάμβανε. τί φῄς, ὦ οὗτος, ἐπριάμην σε; ΦΙΛ. Ἄδηλον. ΑΓΟ. Μηδαμῶς. ἐώνημαι γὰρ, καὶ τἀργύριον κατέβαλον. ΦΙΛ. [2] Ἐπέχω περὶ τούτου, καὶ διασκέπτομαι. ΑΓΟ. Καὶ μὴν ἀκολούθει μοι, καθάπερ χρὴ ἐμὸν οἰκέτην. ΦΙΛ. Τίς οἶδεν εἰ ἀληθῆ ταῦτα φῄς; ΑΓΟ. Ὁ κῆρυξ, καὶ ἡ μνᾶ, καὶ οἱ παρόντες. ΦΙΛ. Πάρεισι γὰρ ἡμῖν τινες; ΑΓΟ. Ἀλλ' ἔγωγέ σε ἤδη ἐμβαλὼν ἐς τὸν μύλωνα, [3] πείσω εἶναι δεσπότης κατὰ τὸν χείρω λόγον. ΦΙΛ. Ἐπέχω περὶ τούτου. ΑΓΟ. Μὰ Δί', ἀλλ' ἤδη γε ἀπεφηνάμην. ΈΡΜ. Σὺ μὲν παῦσαι ἀντιτείνων, καὶ ἀκολούθει τῷ πριαμένῳ· ὑμᾶς δ' [4] ἐς αὔριον παρακαλοῦμεν. ἀποκηρύξειν γὰρ τοὺς ἰδιώτας, καὶ βαναύσους, καὶ ἀγοραίους βίους μέλλομεν.

---

1 φάναι, pres. infin. from φημί.

2 ἐπέχω, "I restrain myself; I do not rush into a hasty conclusion."

3 πείσω —, "will persuade you that I am your master according to the worse argument." *Vide* above, p. 7. n. 3.

4 ἐς αὔριον, "against the morrow." *Vide* above, p. 110. v. 25.

V.

Ε ΧΕΝΟΡΗΟΝΤΕ.

ΕΚ ΤΗΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ.

Ἐκ τοῦ βιβλίου πρώτου,

* * *

ΤΟ ΤΟΥ ΚΥΡΟΥ ΓΕΝΟΣ.

ΠΑΤΡΟΣ μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κληΐζονται)· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ,[1] τοῦ Μήδων γενομένου βασιλέως. [2] Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν Βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, [3] ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι [4] τοῦ ἐπαινεῖσθαι ἕνεκα. Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γεμὴν ἐν Περσῶν νόμοις.

---

1 τοῦ — γενομένου, "the person who was." *Vide* above, p. 9. n. 7.

2 φῦναι — εἶδος μὲν κάλλιστος, "to have been made by nature most beautiful as to appearance."

3 ὥστε — ἀνατλῆναι, "so as to endure; or, so that he endured."

4 τοῦ ἐπαινεῖσθαι ἕνεκα, "for the sake of being praised."

* * *

Ἡ ΤΟΥ ΚΥΡΟΥ ΠΑΙΔΙΑ.

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο, καὶ [1] εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. [2] Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ [3] ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, [4] ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ, καὶ χρώματος ἐντρίψει, καὶ κόμαις προσθέτοις, [5] ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις (ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλλια περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι, καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστεραι), ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός! μοι ὁ πάππος Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ ἢ οὗτος· ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, [6] Μήδων μέντοι, ὅσων ἑώρακα

---

1 εἰς τὸ ταχὺ μανθάνειν, "for learning rapidly."

2 ὡς—τάχιστα, "as soon as."

3 ἔγνω — ὄντα. *Vide* above, p. 36. v. 11.

4 ὥσπερ — ἀσπάζοιτο, "as if one of old brought up together (with him), and of old loving (him), were embracing."

5 ἅ, "which things."

6 Μήδων — ὅσων ἑώρακα. *Vide* above, p. 65. n. 3.

ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. Ἀνταστπαζόμενος δὲ αὐτὸν ὁ Ἀστυάγης, καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελλίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που [1] ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱππεύειν μανθάνων, ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, [2] διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν, ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ, [3] καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα [4] ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον τὰ οἴκαδε [5] ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, [6] ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ; [7] φάναι τὸν Ἀστυάγην, Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται, Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει· ὑμεῖς δὲ [8] εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἐλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκομεν. Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ

---

1 ἐξελαύνοι. Sup. ἵππον. — περιῆγεν. Sup. αὐτόν.

2 διὰ τὸ χαλεπὸν εἶναι, "on account of its being hard."

3 καὶ ἰδεῖν, "even to see."

4 ὡς ἥδιστα. *Vide* above, p. 60. n. 5.

5 ποθοίη. *Vide* above, p. 35. v. 4.

6 ὅσα πράγματα ἔχεις, "how much trouble you have!"

7 φάναι. Sup. ἔφασαν from the preceding context.

8 εἰς μὲν τὸ αὐτὸ ἡμῖν, "to the same point with us." The dative, in the sense "with," is often put with ὁ αὐτὸς, *idem*.

ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δ', ἔφη, καὶ σὺ γνώσῃ ὅτι ἡδέα ταῦτά ἐστιν. Ἀλλὰ καί σε, φάναι τὸν Κῦρον, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ [1] τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, ταῦτα λέγεις; Ὅτι σὲ, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρεις τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι [2] καταπλέα σοι ἀπ' αὐτῶν ἐγένετο. Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν· Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, [3] ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς· Ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν, [4] καὶ θήρεια καὶ τῶν ἡμέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν. Ἦ καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, [5] ὅ, τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι, ἐγώ σοι, ὦ παῖ. Ἐνταῦθα δὴ τὸν Κῦρον [6] λαβόντα τῶν κρεῶν, διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ· Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις· Σοὶ δὲ, ὅτι μοι παλτὸν ἔδωκας (τοῦτο γὰρ νῦν ἔχω)· Σοὶ δὲ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις. Σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς· τοιαῦτα ποιεῖν, ἕως διεδίδου πάντα, ἃ ἔλαβε κρέα. Σάκα δὲ, φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ [7] τιμὴν ἔχων

---

1 τίνι — τεκμαιρόμενος; "by what conjecturing?"

2 καταπλέα, "full, i. e. not empty and pure, i. e. foul."

3 ἀλλὰ κρέα γε εὐωχοῦ, "yet feast upon flesh at least;" κρέα, contr. for κρέατα, τ being rejected.

4 καὶ θήρεια καὶ τῶν ἡμέρων, "both of wild beasts and of the tame."

5 ὅ, τι (sup. εἰς) —, "to use them for whatever purpose I may wish." *Vide* above, p. 127. n. 3.

6 λαβόντα τῶν. *Vide* above, Anac. Ode VI. v. 3.

7 τιμὴν ἔχων προσάγειν, "having the honour to introduce."

προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ ἀποκωλύειν οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς, [1] ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, Διὰ τί, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως ἐγχέουσι, καὶ [2] διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν ὡς ἂν [3] ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν. [4] Κέλευσον δή, φάναι, ὦ πάππε, τῷ Σάκᾳ καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν [5] ἐγχέας, ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον, οὕτω μὲν εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα· οὕτω δὲ στήσαντα τὸ πρόσωπον, σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγῃ πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν, [7] Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς. [6] τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤροφοῦσι· [7] τοῦ δὲ, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη, Καὶ τί δὴ, ὦ Κῦρε, τὰ

---

1 ὡς ἄν. Sup. ἐπέροιτο.

2 διδόασι, Att. for διδοῦσι; thus, τιθέασι for τιθεῖσι, ἀνιᾶσι for ἀνιεῖσι, &c.

3 ἐνδοῖεν. *Vide* above, p. 134. n. 1.

4 κέλευσον — τῷ Σάκᾳ καὶ ἐμοὶ δοῦναι, "order Sacas to give also to me."

5 ἐγχέας, Att. for ἐγχεύσας; thus, ἐγχεάμενοι for ἐγχευσάμενοι.

6 τὰ — ἄλλα. Sup. κατὰ, "as to." *Vide* above, Anac. Ode III. v. 28. &c. &c.

7 τοῦ (sup. ἕνεκα), "on account of this."

ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπερρόφησας τοῦ οἴνου; Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ ὅτε [1] εἰστίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δὴ, ἔφη, σὺ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ [2] οὐδὲ ἓν ἀλλήλων· ἤδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε [3] ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, [4] μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι, ἐδύνασθε. Ἐπιλέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς [5] ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτης εἶπεν, Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς [6] ἄν,

---

1 εἰστίας, contr. for εἰστίαες. *Vide* ἑστιάω.

2 οὐδὲ ἕν, "not even one thing."

3 ᾄδειν. Sup. αὐτόν.

4 μὴ ὅπως, *non solum non.*

5 ἦσθα, Æol. for ἦς; thus also, ἔφησθα for ἔφης, &c. *Vide* above, p. 39. n. 1.

6 ἄν — λέγοιμ' ἄν, "I would say;" ἄν is often doubled with a verb.

ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα, ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι [1] λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων. Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, [2] χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ, τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα [3] χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοὶ, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι [4] ὡς ἐμὲ, [5] ἐπί σοι ἔσται· καὶ [6] χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, [7] ἔχων, ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ, ἐν τῷ δείπνῳ, [8] ἐπὶ τὸ μετρίως σοὶ δοκοῦν ἔχειν,

---

1 λοῦται, Att. for λούεται.

2 χαλεπὸν ἦν —, "it was difficult for another to be before him in doing this."

3 χαλεπὸν νομίζειν εἶναι, "that she thought it was hard."

4 ὡς, Att. for πρός. *Vide* above, Theoc. Idyl. I. v. 13.

5 ἐπί σοι. *Vide* above, p. 135. 1.

6 χάριν — εἴσομαι, "I shall acknowledge a favour; I shall be obliged."

7 ἔχων, ἄπει (for ἄπιθι), οὓς —, "go away, having (i. e. taking with you) whatever horses you may choose."

8 ἐπὶ —. Construe, ἐπὶ τὸ δοκοῦν (contr. for δοκέον) σοὶ ἔχειν μετρίως, "towards that which appears to you to be moderate." *Vide* above, p. 40. n. 8.

ὁποίαν βούλει ὁδὸν πορεύσῃ. Ἔπειτα, τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σύ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ [1] τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίκτορας παρέξω· καὶ ἄλλα ὅσα ἂν βούλῃ, λέγων πρὸς ἐμὲ, οὐκ ἀτυχήσεις. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, διὰ τί· εἰπεῖν λέγεται, Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ [2] τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ· Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί [3] σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι [4] τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς συμμαχεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοὶ τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. Πῶς σὺ οἶσθα, εἰπεῖν τὴν Μανδάνην; Ὅτι, φάναι, ὁ διδάσκαλος μὲ, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν. Καὶ τοίνυν, φάναι, [5] ἐπὶ μιᾷ ποτὲ δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ

---

1 τοξεύων, "by shooting." *Vide* above, p. 35. v. 4. latter part of the note.

2 τοξεύων, "in shooting." *Vide* above, p. 35. v. 4. latter part of the note.

3 σοι, "for you;" an expression of boyish exultation. We often hear the same expression in English, when any thing is pointed out that is expected to excite admiration.

4 τῷ πάππῳ — συμμαχεῖν αὐτῷ, "to fight with (i. e. on the side of) my grandfather;" the dem. pronoun being redundant. Thus, in English, "the cock he crew."

5 ἐπὶ μιᾷ ποτὲ δίκῃ, "once on account of one decision." *Vide* ἐπί.

ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα ἐκδύσας [1] αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ γοῦν τούτοις δικάζων, [2] ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τούτῳ μὲ ἔπαισεν ὁ διδάσκαλος, λέγων ὅτι ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτὴς, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστι· [3] πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη τὸ μὲν νόμιμον, δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. [4] Σὺν τῷ νόμῳ οὖν ἐκέλευε δεῖν τὸν δικαστὴν [5] τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τάγε δίκαια παντάπασιν οἶδα ἀκριβῶς· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. Ἀλλ' [6] οὐ ταὐτὰ, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια καὶ ἐν Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ [7] τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ τῇ πόλει· τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ, ἀλλ' ὁ νόμος ἐστίν· [8] Ὅπως οὖν μὴ ἀπολῇ μαστιγούμενος, ἐπειδὰν οἴκοι εἴης, [9] ἂν

---

1 αὐτὸν, redundant. *Vide* above, p. 149. n. 4.

2 ἔγνων, "I decreed."

3 πότερα —, "whether that he who took it away by force should have it, or that he who made it for himself or who purchased it should possess it."

4 σὺν τῷ νόμῳ, "in conformity with the law." *Vide* σύν.

5 τὴν ψῆφον τίθεσθαι, "to give his decision."

6 οὐ ταυτὰ (contr. for τὰ αὐτὰ) — δίκαια — ὁμολογεῖται, "not the same things are acknowledged as just."

7 τὸ ἴσον ἔχειν, "to have equality." *Vide* above, Anac. Ode II. v. 5.

8 ὅπως οὖν μὴ ἀπολῇ, "see, then, that you do not perish." *Vide* Theoc. Idyl. I. v. 112.

9 ἄν —. Construe, ἂν ἥκῃς, μαθὼν παρὰ τούτου, ἀντὶ τοῦ βασιλικοῦ, τὸ τυραννικὸν, ἐν ᾧ ἐστι τὸ οἴεσθαι χρῆναι ἔχειν πλέον ἁπάντων.

παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ' ὅγε σὸς πατήρ, εἶπεν ὁ Κῦρος, [1] δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν. Ἢ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; Ὥστε θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα, οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψεται.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ, ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν [2] ἀνήρτητο προσιὼν, καὶ ἔνδηλος ὢν ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι διαπράξασθαι σφίσιν· Ὁ δὲ Κῦρος, ὅ, τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν, [3] περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. Καὶ ὁ Ἀστυάγης δὲ, ὅ, τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, [4] μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ἠσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ, τι οἴοιτο [5] χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

---

1 δεινότερος, "more able."

2 ἀνήρτητο (plup. pass. from ἀναρτάω), "he attached to himself."

3 περὶ παντὸς ἐποιεῖτο, "made it a point above every thing." *Vide* περί.

4 μὴ οὐ χαρίζεσθαι, "so as not to grant the favour." A negative, μὴ or οὐ μὴ, is frequently put with the infinitive after verbs which contain a negation. *Vide* above, p. 13. n. 6.

5 χαριεῖσθαι. In verbs in ίζω, the Attics shorten the penult so as to form a future both active and middle; thus below, χαρίζω, χαριῶ, χαριοῦμαι; νομίζω, νομιῶ, νομιοῦμαι; διακονιίζω, διακονιῶ, διακονιοῦμαι, &c.

Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, [1] πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων [2] ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ', ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρὸν, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία· ὥστε ἐπιθυμίαν τις εἶχεν ἔτι πλείω ἀκούειν αὐτοῦ, [3] ἢ σιωπῶντι παρεῖναι. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν σὺν τῷ μεγέθει, [4] εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ [5] σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, οὐκέτι ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὲ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, [6] οὐχ ἃ κρείσσων ἤδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ἤδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν. Καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους, ἢ διακοντιούμενος, ἢ διατοξευσόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡτ-

---

1 πῶς ἔχοντα τυγχάνοι, "how they happened to be." *Vide* above, p. 40. n. 8.

2 ἐρωτῷτο, contr. for ἐρωτάοιτο.

3 ἢ, "rather than."

4 εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, "to the season of his drawing near youth."

5 σκυλακῶδες. Sup. εἶδος. *Vide* above, p. 127. n. 6.

6 οὐχ ἃ κρείσσων ἤδει ὤν, ταῦτα, "not as to those things as to which he knew he was superior."

τώμενος δὲ, αὐτὸς ἐφ' ἑαυτοῦ μάλιστα ἐγέλα. Ὡς δ' οὐκ ἀπεδίδρασκεν, [1] ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῶτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις· ταχὺ δὲ παρῆει, διὰ τὸ ἐρᾷν τοῦ ἔργου· ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτὸν, Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα [2] πράγματα ἔχειν; Ἀλλ' ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, σέ μοι ταῦτα τρέφειν. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προΐδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτὸν, καὶ εἴ τῶν ἀγρίων τὶ φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαρροῦντα διώκειν. Οἱ δ' ἔλεγον ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν, καὶ λέοντες, καὶ κάπροι, καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες, καὶ ἄγριοι ὄϊες, καὶ οἱ ὄνοι οἱ ἄγριοι, ἀσινεῖς

---

1 ἐκ τοῦ ἡττᾶσθαι, "in consequence of being worsted." *Vide* ἐκ.

2 πράγματα ἔχειν. *Vide* above, p. 144. n. 6.

εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη [1] αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος ταῦτα πάντα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουεν, ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ [2] μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· [3] οὐ μὴν ἀλλ' ἐπέμενεν ὁ Κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες, ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον εἰς οἷον κίνδυνον ἔλθοι· καὶ ἔφασαν [4] κατερεῖν αὐτοῦ τῷ πάππῳ. Ὁ οὖν Κῦρος εἱστήκει, καταβεβηκώς, καὶ ἀκούων ταῦτα ἡνιᾶτο. Ὡς δ' ἤσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδεν [5] ἐκ τοῦ ἐναντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ διατεινάμενος εὐστόχως, βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον. Ἐνταῦθα μέν τοι ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα ὁρῶν. Ὁ δ', αὐτοῦ λοιδορουμένου, ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι εἰσκομίσαντα τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασίν, Ἀλλ' ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον, ἀλλὰ καὶ ἐμοὶ λοιδορήσεται, ὅτι σε εἴων. Κἂν βούληται, φάναι αὐτὸν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ γε εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος ὅ, τι βούλει, τοῦτο ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι [6] τελευτῶν εἶπε, Ποίει ὅπως

---

1 αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι, "were precipitated with the horses themselves (or, horses and all)." *Vide* above, p. 46. n. 7.

2 μικροῦ. *Vide* above, p. 42. n. 2.

3 οὐ μὴν ἀλλὰ, "not but that."

4 κατερεῖν αὐτοῦ, "that they would speak against him."

5 ἐκ τοῦ ἐναντίου, "from the opposite quarter."

6 τελευτῶν, "at last." *Vide* above, p. 12. n. 2.

βούλει· σὺ γὰρ ἰοῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐδείκνυε μὲν οὔ, κατέθηκε δὲ ἡματωμένα, ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα μοι δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενὸς, ὥστε σὲ κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη, Εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτὰ, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδίδου [1] ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. Καὶ ὁ Κῦρος λαβὼν, ἐδίδου τε ἄρα τοῖς παισὶ, καὶ ἅμα ἔλεγεν·

Ὦ παῖδες, [2] ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόν περ εἴ τις δεδεμένα ζῶα [3] θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν· ἔπειτα καὶ μικρὰ καὶ ψωραλέα· καὶ τὸ μὲν αὐτῶν, χωλὸν ἦν· τὸ δὲ, κολοβόν. Τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία, ὡς μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι, ὥσπερ πτηναὶ, ἤλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κάπροι, ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὀμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόντε ἦν αὐτῶν· καλλίω δὲ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα εἶναι, ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα. Ἀλλὰ ἆρα ἂν, ἔφη, [4] ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν; Καὶ ῥᾳδίως γ' ἂν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. Καὶ ὁ Κῦρος εἶπε, Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη; Τίς γὰρ [5] ἂν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ λέγειν

---

1 ὅτῳ, Att. for ᾧτινι.
2 ὡς, "how!"
3 θηρῴη. *Vide* above, p. 35. v. 4.
4 ἀφεῖεν. *Vide* above, p. 134. n. 1.
5 ἂν (sup. εἴη), "would be."

οἷός τ' εἰμὶ, οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον [1] ἐκ τοῦ ἴσου ἔτι δύναμαι. [2] Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὤν, [3] δεινότατον λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσῃ πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς [4] τὸ ἐπὶ σοὶ ἀνάγκη δεῖσθαι. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη· καὶ σιγῇ ἀπελθὼν, διακελευσάμενος ἑαυτῷ τολμᾷν, εἰσῆλθεν, ἐπιβουλεύσας ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε·

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρήσῃ; Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιήσεις; Τί δὲ, ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξαρχῆς πάλιν αὐτῷ χρήσομαι; Ὥρα οὖν, ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἴη ὅτῳ μαστιγώσεις με, ὡς βουλευόμενόν γε ὅπως ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας [5] προειπών· [6] ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γὰρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. Ἀκούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὤν, σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ

---

1 ἐκ τοῦ ἴσου, "upon equal terms."

2 ἢν δὲ τοσοῦτον ἐπιδιδῶ (sup. ἐμαυτὸν), "if I put myself onwards so much; if I go on at this rate." *Vide* above, p. 12. n. 1.

3 δεινότατον. *Vide* above, p. 151. n. 1.

4 τὸ ἐπὶ σοὶ, "the thing in your power." *Vide* ἐπί.

5 προειπὼν, "in telling me beforehand." *Vide* above, p. 35. v. 4. latter part of the note.

6 ἔνδοθεν γὰρ —, "for I forbid you to move from within." *Vide* above, p. 151. n. 4.

χαρίσασθαι, ἐξάγει ἐπὶ θήραν· καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δὴ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν· Ἀλλ' εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες πάντας τοὺς [1] κατ' ἐμὲ διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος τὰ κράτιστα δύναιτο. Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο τοὺς ἁμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ ἥδετο, οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ', ὥσπερ σκύλακι γενναίῳ, ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ [2] τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἠσθάνετο οὐδ' ὁπωστιοῦν φθονερῶς. Τέλος δ' οὖν, πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. Καὶ τολοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥστε ἀεὶ, ὁπότε οἷόν τε εἴη, συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί.

* * *

Ἐκ τοῦ βιβλίου πέμπτου.

ΠΑΝΘΕΙΑ.

Καλέσας δὲ ὁ Κῦρος Ἀράσπην Μῆδον (ὃς ἦν αὐτῷ ἐκ παιδὸς ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς, ἔδωκε τὴν

---

1 κατ' ἐμὲ, "after my sort; my fellows." *Vide* κατά.

2 τοῦ μὲν — τὸν δέ τινα, "one — a certain other."

Μηδικὴν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἀπῄει); τοῦτον ἐκέλευσε διαφυλάξαι αὐτῷ τήν τε γυναῖκα καὶ τὴν σκηνήν· ἦν δὲ αὕτη ἡ γυνὴ [1] Ἀβραδάτα τοῦ Σούσων βασιλέως· ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὤν, ἀλλὰ πρὸς τὸν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο· ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας· ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ· ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως ἂν αὐτὸς λάβῃ. Κελευόμενος δὲ ὁ Ἀράσπης ἐπήρετο, Ἑώρακας δ', ἔφη, ὦ Κῦρε, τὴν γυναῖκα, ἥν με κελεύεις φυλάττειν; Μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε. Ἀλλ' ἐγὼ, ἔφη, ἡνίκα ἐξῃρούμεν σοι αὐτήν· καὶ δῆτα ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς τὸ πρῶτον, οὐ διέγνωμεν αὐτήν (χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν· καὶ τοίνυν ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα)· ἐπεὶ δὲ, γνῶναι βουλόμενοι ποία εἴη ἡ δέσποινα, πάσας περιεβλέψαμεν, ταχὺ πάνυ καὶ πασῶν ἐφαίνετο [2] διαφέρουσα τῶν ἄλλων, καίπερ καθημένη, κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. Ὡς δὲ ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ πᾶσαι αἱ ἀμφ' αὐτήν· διήνεγκε δὲ ἐνταῦθα, πρῶτον μὲν, τῷ μεγέθει, ἔπειτα δὲ, τῇ ῥώμῃ, καὶ τῇ ἀρετῇ, καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. Δῆλα δ' ἦν αὐτῇ καὶ τὰ δάκρυα καταστάζοντα τὰ μὲν [3] κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. Ὡς δ' ἡμῶν ὁ [4] γεραίτερος εἶπε, Θάῤῥει, ὦ γύναι· καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι, νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε, εὖ ἴσθι ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι,

---

1 Ἀβραδάτα, Dor. for Ἀβραδάτου, gen. of Ἀβραδάτης.

2 διαφέρουσα, "excelling." *Vide* διαφέρω.

3 κατὰ τῶν πέπλων, "down her garments." *Vide* κατά.

4 γεραίτερος, Att. for γεραιότερος.

οὔτε τὴν γνώμην, οὔτε τὴν δύναμιν· ἀλλ', ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, [1] οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε. Ὡς οὖν τοῦτο ἤκουσεν ἡ γυνὴ, περικατερρήξατό τε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. [2] Ἐν τούτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω φῦναι μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θεάσῃ αὐτήν. Καὶ ὁ Κῦρος ἔφη, Ναὶ μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη ἐστὶν οἵαν σὺ λέγεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, καὶ νῦν σοῦ ἀκούσας ὅτι καλή ἐστιν, εἰ πεισθήσομαι ἐλθεῖν θεασόμενος, οὐ πάνυ μοι σχολῆς οὔσης, δέδοικα μὴ πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασόμενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας ὧν με δεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος.

* * *

Ἐκ τοῦ βιβλίου ἕκτου.

Βουλόμενος δέ τινα κατάσκοπον πέμψαι ἐπὶ Λυδίας, καὶ μαθεῖν ὅ, τι πράσσει ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων τὴν καλὴν γυναῖκα. Συνεβεβήκει γὰρ τῷ Ἀράσπα τοιάδε· ληφθεὶς ἔρωτι τῆς γυναικὸς, ἠναγκάσθη [3] προσενεγκεῖν λόγους αὐτῇ περὶ συνουσίας. Ἡ δὲ

---

1 οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε, "whose you shall be henceforth."

2 ἐν τούτῳ. Sup. χρόνῳ. Thus also, a little below, ἐκ τούτου. *Vide* above, page 94. note 3.

3 προσενεγκεῖν λόγους, "to apply words; to make proposals."

ἀπέφησε μὲν, καὶ ἦν πιστὴ τῷ ἀνδρὶ, καίπερ ἀπόντι (ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς)· οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς τὸν Κῦρον, ὀκνοῦσα [1] συμβαλεῖν φίλους ἄνδρας. Ἐπεὶ δὲ ὁ Ἀράσπας δοκῶν [2] ὑπηρετήσειν τῷ τυχεῖν ἃ ἐβούλετο, ἠπείλησε τῇ γυναικὶ, ὅτι εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοι ταῦτα· ἐκ τούτου ἡ γυνὴ, ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν εὐνοῦχον πρὸς τὸν Κῦρον, καὶ κελεύει λέξαι ἅπαντα. Ὁ δ' ὡς ἤκουσεν, ἀναγελάσας [3] ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ, εἰ δύναιτο, [4] οὐκ ἔφη κωλύειν. Ἐλθὼν δὲ ὁ Ἀρτάβαζος πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτὸν, παρακαταθήκην τε ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδικίαν τε καὶ ἀκράτειαν· ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ μή τι καὶ πάθῃ ὑπὸ Κύρου.

Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα, ἐκάλεσέ τε αὐτὸν, καὶ μόνος μόνῳ ἔλεξεν, Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φοβούμενόν τε ἐμὲ, καὶ ἐν αἰσχύνῃ δεινῶς [5] ἔχοντα. Παῦσαι οὖν τούτων· ἐγὼ γὰρ θεούς τε ἀκούω [6] ἔρωτος ἡσσῆσθαι, [7] ἀνθρώπους τε οἶδα, καὶ μάλα φρονίμους δοκοῦντας εἶναι, οἷα πεπόνθασιν ὑπ' ἔρωτος· καὶ αὐτὸς

---

1 συμβαλεῖν, "to embroil."

2 ὑπηρετήσειν —, "that he should promote the obtaining what things he wished."

3 ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, "at the man who said he was superior to love." *Vide* above, p. 61. n. 8.

4 οὐκ ἔφη κωλύειν, "he said he did not hinder." *Vide* above, p. 78. n. 3.

5 ἔχοντα. *Vide* above, p. 40. n. 8.

6 ἔρωτος ἡσσῆσθαι, "have been conquered by love;" ἔρωτος being governed by the comparative ἥσσων, which is involved in the verb.

7 ἀνθρώπους τε οἶδα — οἷα πεπόνθασιν, "I know men too, what they have suffered." *Vide* above, Anac. Ode VII. v. 6, 7, 8.

δ' [1] ἐμαυτοῦ κατέγνων μὴ ἂν καρτερῆσαι ὥστε συνὼν καλοῖς ἀμελῆσαι αὐτῶν. Καὶ σοὶ δὲ τούτου τοῦ πράγματος ἐγὼ αἴτιός εἰμι· ἐγὼ γάρ σε συγκαθεῖρξα τούτῳ τῷ ἀμάχῳ πράγματι. Καὶ ὁ Ἀράσπας ὑπολαβὼν εἶπεν, Ἀλλὰ σὺ μέν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος εἶ οἷός περ καὶ τἄλλα, πρᾷός τε καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτημάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι τῷ ἄχει. Ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς συμφορᾶς, οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι προσιόντες συμβουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτὸν, μή τι καὶ πάθω ὑπὸ σοῦ, [2] ὡς ἠδικηκότος ἐμοῦ μεγάλα. Καὶ ὁ Κῦρος εἶπεν, Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι [3] ταύτῃ τῇ δόξῃ οἷός τ' εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς συμμάχους μεγάλα ὠφελῆσαι. [4] Εἰ γὰρ γένοιτο, ἔφη ὁ Ἀράσπας, ὅ, τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. Εἰ τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν ἐθέλοις εἰς τοὺς πολεμίους ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν πολεμίων. Ἔγωγε ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, [5] καὶ ὑπὸ τῶν φίλων οἶδα ὅτι ὡς σὲ πεφευγὼς λόγον ἂν παρέχοιμι. Ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν, πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῖντο, διὰ τὸ πιστεύειν· [6] ὥστε μηδὲ ἕν σε λεληθέναι ὧν βουλόμεθα εἰδέναι. Ὡς πορεύσομαι οὖν, ἔφη, ἤδη νυνί· καὶ γὰρ τοῦτο, ἴσθι,

---

1 ἐμαυτοῦ κατέγνων —, "I judged against myself, that, if I conversed with the beautiful, I should not hold out, so as to be careless about them."

2 ὡς ἠδικηκότος —, "since I have wronged you greatly." *Vide* above, p. 64. n. 6.

3 ταύτῃ τῇ δόξῃ, "on account of this opinion."

4 εἰ γὰρ γένοιτο (τι) — (κατὰ) ὅ, τι, "O if there were any thing as to which." εἰ, εἰ γάρ, εἴθε, αἴθε, ὡς, are each equivalent to the Latin *utinam*. *Vide* example above, p. 61. n. 7.

5 καὶ ὑπὸ —, "even by friends I know that I should be talked of as if I had fled from you."

6 ὥστε μηδὲ ἕν σε λεληθέναι, "so that not even one thing escape you."

ἐν τῶν πιστῶν ἔσται, [1] τὸ δοκεῖν με ὑπὸ σοῦ μελλήσοντά τι παθεῖν ἐκπεφευγέναι. Ἦ καὶ δυνήσῃ, ἔφη, ἀπολιπεῖν τὴν καλὴν Πάνθειαν; Δύο γάρ, ἔφη, ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς. Νῦν [2] τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδίκου σοφιστοῦ τοῦ Ἔρωτος. Οὐ γὰρ δὴ μία γε οὖσα, ἅμα ἀγαθή τε ἐστι καὶ κακή, οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ, καὶ [3] ταυτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται πράττειν· ἀλλὰ δῆλον ὅτι δύο ἐστὸν ψυχά, καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ πράττεται· ὅταν δὲ ἡ πονηρά, τὰ αἰσχρὰ ἐπιχειρεῖται. Νῦν δὲ, ὡς σὲ σύμμαχον ἔλαβε, κρατεῖ ἡ ἀγαθὴ καὶ πάνυ πολύ. Εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι, ἔφη ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις πιστότερος ᾖς· ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ' ἡμῶν, οὕτω τε ἐξάγγελλε, ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα [4] ἐμποδὼν μάλιστ' ἂν εἴη ὧν βούλονται πράττειν. Εἴη δ' ἂν ἐμποδὼν, εἰ ἡμᾶς φαίης παρασκευάζεσθαι [5] ἐμβαλεῖν που τῆς ἐκείνων χώρας· ταῦτα γὰρ ἀκούοντες, ἧττον ἂν παντὶ σθένει ἀθροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν οἴκοι. Καὶ μένε, ἔφη, παρ' ἐκείνοις [6] ὁτιπλεῖστον χρόνον· ἃ γὰρ ἂν ποιῶσιν, ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μάλιστα ἡμῖν [7] καιρὸς εἰδέναι ἔσται. Συμβούλευε δ' αὐτοῖς καὶ ἐκτάττεσθαι ὅπῃ ἂν δοκῇ κράτιστον εἶναι· ὅταν γὰρ σὺ ἀπέλθῃς, εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τετάχθαι αὐτοῖς· μετατάσσεσθαι γὰρ ὀκνήσουσι· καὶ ἤν πη

---

1 τὸ δοκεῖν με — ἐκπεφευγέναι, "the appearance that I have fled."

2 τοῦτο πεφιλοσόφηκα, "I have discussed this piece of philosophy."

3 ταυτὰ, contr. for τὰ αὐτά. *Vide* above, p. 150. n. 6.

4 ἐμποδὼν μάλιστ', "most in the way, i. e. most thwarting."

5 ἐμβαλεῖν που —, "to throw themselves into (i. e. to invade) some part of their territory." *Vide* above, p. 98. n. 2.

6 ὁτιπλεῖστον χρόνον, "as long a time as possible."

7 καιρὸς — ἔσται, "it will be seasonable."

ἄλλῃ μετατάττωνται,[1] ἐξ ὑπογύου ταράξονται. Ἀράσπας μὲν δὴ οὕτως ἐξελθὼν, συλλαβὼν τοὺς πιστοτάτους θεράποντας, καὶ εἰπὼν πρός τινας οἷα ᾤετο συμφέρειν τῷ πράγματι, ᾤχετο.

Ἡ δὲ Πάνθεια, ὡς ἤσθετο οἰχόμενον τὸν Ἀράσπαν, πέμψασα πρὸς τὸν Κῦρον εἶπε, Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἐὰν γὰρ ἐμὲ ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι ἥξειν πολὺ Ἀράσπου πιστότερόν σοι φίλον·[2] καὶ δύναμιν δὲ οἷδ' ὅτι ὁπόσην ἂν δύνηται ἔχων παρέσται σοι. Καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ' ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν, οἷδ' ὅτι ἀσμένως ἂν πρὸς ἄνδρα οἷος σὺ εἶ ἀπαλλαγείη. Ἀκούσας ταῦτα ὁ Κῦρος κελεύει πέμπειν πρὸς τὸν ἄνδρα· ἡ δ' ἔπεμψεν. Ὡς δ' ἔγνω ὁ Ἀβραδάτης τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἆλλα δὲ ἤσθετο ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς δισχιλίους. Ὡς δ' ἦν πρὸς τοῖς τῶν Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν ὅς ἦν. Ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα. Ὡς δ' ἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτης, ἠσπάσαντο ἀλλήλους ὡς εἰκὸς[3] ἐκ δυσελπίστου. Ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ Ἀβραδάτης ἀκούσας εἶπε,[4] Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδιδοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος ὅμοιος περὶ ἐκεῖνον εἶναι οἷός περ καὶ ἐκεῖνος περὶ σέ;

---

1 ἐξ ὑπογύου, "suddenly."

2 καὶ δύναμιν —. Construe, δὲ οἷδ' ὅτι παρέσται σοι ἔχων καὶ δύναμιν ὁπόσην ἂν δύνηται. *Vide* above, p. 148. n. 7.

3 ἐκ δυσελπίστου, "unexpectedly."

4 τί—ποιῶν, "by doing what?" *Vide* above, p. 35. v. 4. latter part of the note.

Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτης· καὶ ὡς εἶδεν αὐτόν, [1] λαβόμενος τῆς δεξιᾶς αὐτοῦ εἶπεν, [2] Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θεράποντα καὶ σύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργός σοι πειράσομαι γίγνεσθαι [3] ὡς ἂν δύνωμαι κράτιστος. Καὶ ὁ Κῦρος εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις δὲ καὶ παρ' ἐμοὶ δεήσει σε [4] σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις.

Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτης σπουδάζοντα τὸν Κῦρον περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας, [5] ἐπειρᾶτο συντελεῖν αὐτῷ εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ, ὅμοια ἐκείνῳ· αὐτὸς δὲ [6] ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος παρεσκευάζετο. Συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετράρυμόν τε καὶ ἐξ ἵππων ὀκτώ· ἡ δὲ Πάνθεια ἡ γυνὴ αὐτοῦ ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια· τοὺς δ' ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο. Ἀβραδάτης μὲν ταῦτα ἔπραττε.

* * *

Ἀβραδάτης δὲ ὁ Σούσων βασιλεὺς εἶπεν, Ἐγώ σοι, ὦ Κῦρε, ἐθελούσιος ὑφίσταμαι τὴν [7] κατὰ πρόσωπον

---

1 λαβόμενος—, "having seized his right hand."

2 ἀνθ' ὧν—, "in return for the good deeds you have done to us (*lit.* in return for what things you have done well to us)."

3 ὡς ἂν δύνωμαι κράτιστος, "as good as I can."

4 σκηνοῦν, contr. for σκηνόειν.

5 ἐπειρᾶτο—, "endeavoured to contribute to him to the number of one hundred chariots from his own equestrian body."

6 ὡς ἡγησόμενος—παρεσκευάζετο, "prepared himself as if about to lead."

7 κατὰ πρόσωπον—, "in the face of the opposite phalanx."

τῆς ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τι σοι ἄλλο δοκεῖ. Καὶ ὁ Κῦρος ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς, ἔφη, ταῦτα συγχωρεῖτε; Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτοὺς, καὶ ἔλαχεν Ἀβραδάτης ἧπερ ὑφίστατο, καὶ [1] ἐγένετο κατὰ τοὺς Αἰγυπτίους. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπιμεληθέντες ὧν προεῖπον, ἐδειπνοποιοῦντο, καὶ φυλακὰς καταστησάμενοι ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ πρωὶ μὲν ὁ Κῦρος ἐθύετο· ὁ δ' ἄλλος στρατὸς ἀριστήσας καὶ σπονδὰς ποιησάμενος ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ' ἐπὶ τοῖς ἅρμασι, παραπλευριδίοις· ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

Καὶ τῷ Ἀβραδάτῃ δὲ τὸ τετράρυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ' ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ περιβραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολιδωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. Ταῦτα δὲ ἐποιήσατο, [2] λάθρα τοῦ ἀνδρὸς ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε, καὶ ἐπήρετο τὴν Πάνθειαν, Σὺ δή που, ὦ γύναι, συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποίησω; Μὰ Δί', ἔφη ἡ Πάνθεια, [3] τόν γε πλείστου ἄξιον· σὺ γὰρ ἔμοιγ', ἢν καὶ τοῖς ἄλλοις φανῇς οἷος ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσμος ἔσῃ.

---

1 ἐγένετο κατὰ τοὺς Αἰγυπτίους, "was pitched against (*lit.* at) the Egyptians."

2 λάθρα τοῦ ἀνδρὸς, "without the knowledge of her husband."

3 τόν. Sup. κόσμον.

Ταῦτα δὲ λέγουσα ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.

Ἐπεὶ δὲ καὶ πρόσθεν ὢν ἀξιοθέατος ὁ Ἀβραδάτης ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ ἐλευθεριώτατος, [1] ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. Ἐν δὲ τούτῳ ἡ Πάνθεια, ὑποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας, ἔλεξεν, "Ἀλλ' ὅτι μέν, ὦ Ἀβραδάτα, εἴ τις καὶ ἄλλη πώποτε γυνὴ τὸν αὑτῆς ἄνδρα [2] μεῖζον τῆς ἑαυτῆς ψυχῆς ἐτίμησεν, οἶμαί σε γιγνώσκειν ὅτι καὶ ἐγὼ μία τούτων εἰμί. Τί οὖν με δεῖ [3] καθ' ἓν ἕκαστον λέγειν; τὰ γὰρ ἔργα οἶμαί σοι πιθανώτερα παρεσχῆσθαι τῶν νῦν λεχθέντων λόγων. Ὅμως δ' οὕτως ἔχουσα πρός σε, ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν ἐμὴν καὶ σὴν φιλίαν, ἦ μὴν [4] ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ ἀνδρὸς ἀγαθοῦ γενομένου κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον, ἢ ζῆν μετ' αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ τῶν καλλίστων καὶ ἐμαυτὴν ἠξίωκα. Καὶ Κύρῳ δὲ δοκῶ μεγάλην τινὰ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με αἰχμάλωτον γεγενημένην καὶ ἐξαιρεθεῖσαν ἑαυτῷ, οὔτε με ὡς δούλην ἠξίωσε κεκτῆσθαι, οὔτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόματι· διεφύλαξε δέ σοι ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. Πρὸς δέ, καὶ ὅτε ὁ Ἀράσπας ἀπέστη αὐτοῦ, ὁ ἐμὲ φυλάττων, ὑπεσχόμην αὐτῷ, εἴ με ἐάσειε πρός σε πέμψαι, ἥξειν αὐτῷ σὲ πολὺ Ἀράσπου πιστότερον καὶ ἀμείνονα."

---

1 ἅτε —, "since even his natural appearance was such." ἅτε and οἷα are sometimes put, in the same sense as ὡς, with the genitive absolute. *Vide* above, p. 64. n. 6.

2 μεῖζον, "more greatly." *Vide* above, Anac. Ode I. v. 10.

3 καθ' ἓν, "one by one." *Vide* κατά.

4 ἐγὼ, an exception to the general rule. *Vide* above, p. 7. n. 3.

Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτης ἀγασθεὶς τοῖς λόγοις, καὶ δίγων αὐτῆς τῆς κεφαλῆς, ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐπεύξατο· Ἀλλ', ὦ Ζεῦ μέγιστε, δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρὶ, ἀξίῳ δὲ Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος. Ταῦτα εἰπὼν, κατὰ τὰς θύρας τοῦ ἁρματείου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρμα. Ἐπεὶ δὲ, ἀναβάντος αὐτοῦ, κατέκλεισε τὸν δίφρον ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια πῶς ἂν ἔτι ἄλλως ἀσπάσαιτο αὐτὸν, κατεφίλησε τὸν δίφρον· καὶ [1] τῷ μὲν προήει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα αὐτὸν συνεφείπετο, ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτης εἶπε, Θάῤῥει, Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη. Ἐκ τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι λαβοῦσαι αὐτὴν, ἀπῆγον εἰς τὴν ἁρμάμαξαν, καὶ κατακλίναντες κατεκάλυψαν τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος τοῦ θεάματος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

* * *

Ἐκ τοῦ βιβλίου ἑβδόμου.

Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ πλήθει καὶ τοῖς ὅπλοις. Τά τε γὰρ δόρατα ἰσχυρά τε καὶ μακρὰ (ἃ ἔτι καὶ νῦν ἔχουσι), αἵ τε ἀσπίδες πολὺ μᾶλλον τῶν θωράκων καὶ τῶν γέῤῥων καὶ στέγουσι τὰ σώματα, καὶ πρὸς τὸ ὠθεῖσθαι συνεργάζονται, [2] πρὸς τοῖς ὤμοις οὖσαι. Συγκλείσαντες οὖν τὰς ἀσπίδας ἐχώρουν καὶ ἐώθουν. Οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέχειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέῤῥα ἔχοντες,

---

1 τῷ. Sup. Ἀβραδάτῃ.
2 πρὸς τοῖς ὤμοις, "close to the shoulders."

ἀλλ' [1] ἐπὶ πόδα ἀνεχάζοντο παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ ταῖς μηχαναῖς ἐγένοντο. Ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον, ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν πύργων· καὶ [2] οἱ ἐπὶ πᾶσι δὲ οὐκ εἴων φεύγειν οὔτε τοὺς τοξότας, οὔτε τοὺς ἀκοντιστάς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠνάγκαζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. Ἦν δὲ πολὺς μὲν ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παντοδαπῶν, πολλὴ δὲ βοή, τῶν μὲν ἀνακαλούντων ἀλλήλους, τῶν δὲ παρακελευομένων, τῶν δὲ θεοὺς ἐπικαλουμένων.

Ἐν δὲ τούτῳ Κῦρος διώκων [3] τοὺς καθ' ἑαυτὸν, παραγίνεται. Ὡς δὲ εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας [4] ἐωσμένους, ἤλγησέ τε, καὶ γνοὺς ὅτι οὐδαμῶς ἂν θᾶττον σχοίη τοὺς πολεμίους τῆς [5] εἰς τὸ πρόσθεν προσόδου, ἢ εἰ εἰς τὸ ὄπισθεν περιελάσειεν αὐτῶν, παραγγείλας ἕπεσθαι τοῖς μεθ' ἑαυτοῦ, περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰσπεσόντες παίουσιν ἀφορῶντας, καὶ πολλοὺς κατακαίνουσιν. Οἱ δὲ Αἰγύπτιοι ὡς ἤσθοντο, ἐβόων τε ὅτι ὄπισθεν οἱ πολέμιοι, καὶ ἐστρέφοντο ἐν ταῖς πληγαῖς. Καὶ ἐνταῦθα δὴ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς. Πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ· ὁ δὲ ἵππος πληγεὶς, σφαδάζων ἀποσείεται τὸν Κῦρον. Ἔνθα δὴ ἔγνω ἄν τις [6] ὅσου ἄξιον εἴη τὸ φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν ἀρχομένων. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες, καὶ προσπεσόντες ἐμάχοντο·

---

1 ἐπὶ πόδα, "upon their footsteps."

2 οἱ ἐπὶ πᾶσι, "those behind all; those in the rear." *Vide* ἐπί.

3 τοὺς καθ' ἑαυτὸν, "those pitched against himself (*lit.* those at himself)." *Vide* above, p. 165. n. 2.

4 ἐωσμένους, Att. for ὠσμένους, from ὤθω. *Vide* above, p. 20. n. 1.

5 εἰς τὸ πρόσθεν — εἰς τὸ ὄπισθεν, "to the space before — to the space behind."

6 ὅσου ἄξιον —, "how much the ruler's being loved by his subjects is worth."

ἐώθουν, ἐωθοῦντο· ἔπαιον, ἐπαίοντο. Καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν τοῦ Κύρου ὑπηρετῶν, ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. Ὡς δὲ ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι, καὶ Χρυσάντας. Ἀλλὰ τούτους ἐμβαλεῖν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. Ὡς δὲ ἐγένετο περιελαύνων παρὰ τὰς μηχανάς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ πύργον τινὰ καὶ κατασκέψασθαι εἴ πη καὶ [1] ἄλλο τι μένοι τῶν πολεμίων καὶ μάχοιτο. Ἐπεὶ δὲ ἀνέβη, κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων· φευγόντων, διωκόντων· κρατούντων, κρατουμένων· μένον δ' οὐδαμοῦ οὐδὲν ἔτι ἠδύνατο κατιδεῖν, πλὴν τῶν Αἰγυπτίων. Οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, [2] κύκλῳ πάντοθεν ποιησάμενοι, ὥστε ὁρᾶσθαι τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.

* * *

Ὁ δὲ Κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν, Εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάτην; Θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν οὐδαμοῦ φαίνεται. Τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στίφος εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς

---

1 ἄλλο τι. Sup. μέρος. *Vide* above, p. 19. n. 5.

2 κύκλῳ πάντοθεν ποιησάμενοι, "having thrown themselves into a circle at all points."

τὴν ἁρμάμαξαν, ἐν ᾗ περ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται χαμαὶ,[1] κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. Ταῦτα ἀκούσας ὁ Κῦρος ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας, ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν ὅ, τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι, μεταδιώκειν·[2] καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας, καὶ βοῦς καὶ ἵππους, εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν ὅποι ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτῃ.

Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε, Φεῦ ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς· καὶ ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀποκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰγυπτίων. Ὁ δὲ, ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν[3] ὡς οἷόν τ' ἦν προσήρμοσε· καὶ εἶπε, Καὶ τἄλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει. Ἀλλὰ τί δεῖ σε ὁρᾶν; Καὶ ταῦτ' ἔφη, οἶδ' ὅτι δι' ἐμὲ[4] οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ Κῦρε, οὐδὲν ἧττον.[5] Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη·

---

1 κεκοσμηκυῖα —, "having adorned her husband with such things as she had."

2 καὶ ὅστις —, "and whosoever had the herds following (the army), he bid him drive both oxen and horses and many other cattle," &c.

3 ὡς οἷόν τ' ἦν, "as far as was possible."

4 οὐχ ἥκιστα, "not least, i. e. very much."

5 ἐγὼ — ἡ μωρὰ. "I foolish."

αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει ὅ, τι πείσοιτο, ἀλλὰ [1] τί ἄν σοι ποιήσας χαρίσαιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακάθημαι. Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο, Ἀλλ' οὗτος μὲν δή, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ (παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες)· ἔπειτα δ' ἔφη, ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ὑμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. Καὶ σὺ δὲ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἆλλα τιμήσω, καὶ συστήσω ὅστις ἀποκομιεῖ σε ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον πρὸς ὅντινα χρῄζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάρρει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.

Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, [2] κατοικτείρων τήν τε γυναῖκα, οἷου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι (ἕως ἂν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι ὡς βούλομαι)· τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε, καὶ χαλεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην πάλαι παρεσκευασμένη, σφάττει ἑαυτὴν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν

---

1 τί — ποιήσας, "by having done what?" *Vide* above, p. 35. v. 4. latter part of the note.

2 κατοικτείρων — οἷου ἀνδρὸς στεροῖτο, — οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο, "reflecting with pity what a husband she was bereaved of, — what a wife he, having left, should see no more."

ἑαυτῆς κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστελλεν. Ὁ δὲ Κῦρος, ὡς ἤσθετο τὸ ἔργον τῆς γυναικὸς, ἐκπλαγεὶς, ἴεται εἴ τι δύναιτο βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται, οὕπερ ἔταξεν αὐτοὺς ἑστηκότες. Καὶ μὴν τὸ μνῆμα [1] μέχρι τῶν εὐνούχων κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγεγράφθαι, ΣΚΗΠΤΟΥΧΩΝ. Ὁ δὲ Κῦρος, ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῄει· καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασιν.

---

1 μέχρι τῶν εὐνούχων, "as far as the eunuchs, i. e. extending to the spot where the eunuchs slew themselves."

VI.

EX HOMERO.

ΕΚ ΤΗΣ ΙΛΙΑΔΟΣ.

ΖΗΤΑ.

* * * * *

ΓΛΑΥΚΟΣ καὶ ΔΙΟΜΗΔΗΣ.

Γλαυκος δ' Ἱπολόχοιο πάϊς καὶ Τυδέος υἱὸς
Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι. 120
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
Τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων;
Οὐ μὲν γάρ ποτ' ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
Τὸ πρίν· ἀτὰρ μὲν νῦνγε πολὺ προβέβηκας ἁπάντων 125
Σῷ θάρσει, ὅτ' ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας.
Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν.

---

120. συνίτην, 3 pers. dual, imp. of σύνειμι; μεμαῶτε for μεμαότε, dual of μεμαώς, part. perf. mid. from μάω.

122. τὸν, Γλαῦκον scil. — προσέειπε for προσεῖπε (*vide* above, p. 20. n. 1.) βοὴν ἀγαθὸς, "good as to battle."

123. ἐσσι, Poet. for εἶς or εἶ.

124. ὄπωπα, redup. for ὤπα (*vide* above, p. 11. n. 1.) perf. from ὄπτομαι; — ἔνι, Poet. for ἐν.

125. τὸ πρὶν, "heretofore."

126. ὅτ' — ἔμεινας, "in that thou hast waited for."

127. ἀντιόωσιν, Poet. for ἀντιῶσιν, contr. for ἀντιάουσιν, from ἀντιάω; thus below, τηλεθόωσα (for τηλεθῶσα, contr. for τηλεθάουσα, from τηλεθάω) παμφανόωσαν, &c. *Vide* above, Theoc. Idyl. I. v. 38.

Εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθας,
Οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος 130
Δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν·
Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
Σεῦε κατ' ἠγάθεον Νυσσήϊον· αἱ δ' ἅμα πᾶσαι
Θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου
Θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς 135
Δύσεθ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ
Δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῆ.
Τῷ μὲν ἔπειτ' ὀδύσαντο θεοὶ ῥεῖα ζώοντες,
Καί μιν τυφλὸν ἔθηκε Κρόνου παῖς· οὐδ' ἄρ' ἔτι δὴν
Ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσιν. 140
Οὐδ' ἂν ἐγὼ μακάρεσσι θεοῖς ἐθέλοιμι μάχεσθαι.
Εἰ δέ τις ἐσσὶ βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν,
Ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.

---

128. κατ' οὐρανοῦ, "down from heaven"; εἰλήλουθας, Poet. for ἐλήλυθας, from ἔρχομαι.

131. δὴν ἦν, "lived long."

133. σεῦε, Ion. for ἔσευε (*vide* above, Anac. Ode III. v. 14.); thus below, ἔχε for εἶχε, ὀδύσαντο for ὠδύσαντο, τέκεθ' for ἐτέκετο, πεῖθ' for ἔπειθε, λάβεν for ἔλαβεν, ἄκουσε for ἤκουσε, πέμπε for ἔπεμπε, πόρεν for ἔπορεν, πόρον for ἔπορον, βῆ for ἔβη, τῖεν for ἔτιεν, φάτο for ἔφατο, νέοντο for ἐνέοντο, γίγνωσκε for ἐγίγνωσκε, δῶκε for ἔδωκε, τάμον for ἔταμον, ἀλᾶτο for ἠλᾶτο, γήθησεν for ἐγήθησεν, λαβέτην for ἐλαβέτην, πιστώσαντο for ἐπιστώσαντο, ἐξέλετο for ἐξείλετο, ἄμερβε for ἤμειβε, φῦ for ἔφυ, κίεν for ἔκιεν, μείδησεν for ἐμείδησεν, &c. &c.

134. κατέχευαν for κατέχευσαν, "threw (*lit.* poured) down."

136. δύσεθ' ἁλὸς κατὰ κῦμα, "entered at a wave of the sea;" δύσεθ' for ἐδύσετο, imp. of δύσομαι, "I enter."

137. δειδιότα, Poet. for δεδιότα· κρατερὸς—, "for violent trembling possessed him at the threat of the man."

138. τῷ — ὀδύσαντο, "were enraged at him."

139. ἔθηκε, "put; rendered." *Vide* above, Anac. Ode VI. v. 36.

141. μακάρεσσι, dat. plur. from μάκαρ. *Vide* above, Anac. Ode III. v. 20.

143. ἄσσον ἴθ' (for ἴθι) —, "come near, that you may more speedily reach the limits (or, verge) of destruction"; ἵκηαι for ἵκῃ (*vide* above, p. 74. n. 9.); thus below, δύνηαι for δύνῃ.

Τὸν δ' αὖδ' Ἱπολόχοιο προσηύδα Φαίδιμος υἱός·
Τυδείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις; 145
Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
Τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη·
Ὡς ἀνδρῶν γενεὴ, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς 150
Ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
Ἔστι πόλις Ἐφύρη, μυχῷ Ἄργεος ἱπποβότοιο,
Ἐνθάδε Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὁ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν·
Αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην· 155
Τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν
Ὤπασαν· αὐτάρ οἱ Προῖτος κάκ' ἐμήσατο θυμῷ·
Ὃς ῥ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν
Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρῳ ἐδάμασσε.
Τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια, 160
Κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔτι
Πεῖθ' ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην.
Ἡ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
Τεθναίης, ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
Ὃς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ. 165
Ὡς φάτο· τὸν δὲ ἄνακτα χόλος λάβεν, οἷον ἄκουσε·

---

144. προσηύδα, contr. for —αε, imp. from προσαυδάω.

145. τίη, Poet. for τί, "why?"

147. τὰ μὲν — ἄλλα δὲ, "some — others."

149. ἡ μὲν — ἡ δ', "one — another."

150. δαήμεναι, Dor. for δαῆναι, 2 a. infin. pass. from δαέω; thus below, μιγήμεναι for μιγῆναι, 2 aor. infin. pass. from μίσγω; δύμεναι for δῦναι, 2 aor. infin. act. from δύω; ἔμμεναι for εἶναι.

153. ἔσκεν for ἦν (*vide* above, p. 77. n. 6.); thus below, καλέεσκε for ἐκάλεε, ἀριστεύεσκε for ἠρίστευε.

158. ἔλασσεν for ἤλασεν (*vide* above, p. 68. v. 9.); thus below, ἐδάμασσε, σεβάσσατο, ὅττι, μέσσῃ, μαχέσσατο, ποσσί, ὅσσον, τόσσον, &c. — ἦεν for ἦν.

159. οἱ — ἐδάμασσε, "subjected to him."

164. κάκτανε for κατάκτανε, 2 aor. imperat. from κατακτείνω.

165. μ' for μοι.

166. οἷον ἄκουσε, "at a thing such as he heard."

Κτεῖναι μέν ῥ' ἀλέεινε, σεβάσσατο γὰρ τόγε θυμῷ,
Πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅγε σήματα λυγρὰ,
Γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά·
Δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο. 170
Αὐτὰρ ὁ βῆ Λυκίηνδε θεῶν ὑπ' ἀμύμονι πομπῇ·
Ἀλλ' ὅτε δὴ Λυκίην ἵξε, Ξάνθον τε ῥέοντα,
Προφρονέως μιν τῖεν ἄναξ Λυκίης εὐρείης·
Ἐννῆμαρ ξείνισσε, καὶ ἐννέα βοῦς ἱέρευσεν.
Ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος ἠὼς, 175
Καὶ τότε μιν ἐρέεινε, καὶ ἤτεε σῆμα ἰδέσθαι,
Ὅ, ττι ῥά οἱ γαμβροῖο παρὰ Προίτοιο φέροιτο.
Αὐτὰρ ἐπειδὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
Πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευσε
Πεφνέμεν· ἡ δ' ἄρ' ἔην θεῖον γένος, οὐδ' ἀνθρώπων, 180
Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
Καὶ τὴν μὲν κατέπεφνε, θεῶν τεράεσσι πιθήσας.
Δεύτερον αὖ, Σολύμοισι μαχέσσατο κυδαλίμοισι·
Καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν· 185
Τὸ τρίτον αὖ, κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.
Τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·
Κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους,
Εἷσε λόχον· τοὶ δ' οὔτι πάλιν οἶκονδε νέοντο·

---

168. Λυκίηνδε, "to Lycia." δε affixed to the accusative of a noun marks motion to a place; thus below, οἰκόνδε, "to one's home;" πεδιόνδε, "to the plain."

171. ὑπ' ἀμύμονι πομπῇ, "under the illustrious guidance."

180. πεφνέμεν, Ion. for πέφνειν; thus below, αἰσχυνέμεν, ἐναιρέμεν; —ἔην for ἦν (*vide* above, p. 20. n. 1).

182. ἀποπνείουσα, Poet. for ἀποπνέουσα.

183. τεράεσσι, Ion. dat. plur. of τέρας. *Vide* above, Anac. Ode III. v. 20.; and add to the rule there given—all nominative plurals of this declension (neuter as well as masculine or feminine) being considered for the time as terminating in —ες.

185. καρτίστην (by *metath.* for κρατίστην) —, "he said that he entered this the fiercest battle ever fought by men."

189. εἷσε. *Vide* ἕω.—τοὶ, Poet. for οἱ.

Πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης. 190
Ἀλλ' ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠὲν ἐόντα,
Αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅγε θυγατέρα ἥν·
Δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης.
Καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων,
Καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο. 195
Ἡ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,
Ἴσανδρόν τε, καὶ Ἱππόλοχον, καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
Ἡ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.
Ἀλλ' ὅτε δὴ κἀκεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν, 200
Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο,
Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων·
Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης, ἄτος πολέμοιο,
Μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισι·
Τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα. 205
Ἱππόλοχος δέ μ' ἔτικτε, καὶ ἐκ τοῦ φημὶ γενέσθαι·
Πέμπε δέ μ' ἐς Τροίην, καὶ μοι μάλα πολλ' ἐπέτελλεν,
Αἰὲν ἀριστεύειν, καὶ ὑπείροχον ἔμμεναι ἄλλων·
Μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἳ μέγ' ἄριστοι
Ἔν τ' Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ· 210
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ὣς φάτο· γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης·
Ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Αὐτὰρ ὁ μειλιχίοισι προσηύδα ποίμενα λαῶν·
Ἦ ῥά νύ μοι ξεῖνος πατρώϊος ἐσσι παλαιός· 215
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
Ξείνιος ἐνὶ μεγάροισιν, ἐείκοσιν ἤματ' ἐρύξας·

---

194. τάμον for ἔταμον, 2 aor. of τέμνω—ἔξοχον ἄλλων, "pre-eminent among others."

201. καππεδίον (for κατὰ πεδίον) τὸ Ἀλήϊον, "along the Aleian plain."

205. ἔκτα, Dor. for ἔκτη, 2 aor. of κτῆμι.

209. μέγ' ἄριστοι, "greatly the best."

211. εὔχομαι εἶναι, "I boast to be."

214. μειλιχίοισι, "with sweet words."

217. ἐείκοσιν for εἴκοσιν.

Οἱ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά·
Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινὸν,
Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον· 220
Καί μιν ἐγὼ κατέλειπον ἰὼν, ἐν δώμασ' ἐμοῖσι.
Τυδέα δ' οὐ μέμνημαι· ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
Κάλλιφ', ὅτ' ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.
Τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἀργεϊ μέσσῳ
Εἰμὶ· σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι. 225
Ἔγχεσι δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·
Πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες, κλειτοί τ' ἐπίκουροι,
Κτείνειν, ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχείω·
Πολλοὶ δ' αὖ σοι Ἀχαιοὶ, ἐναιρέμεν, ὅν κε δύνῃαι·
Τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε 230
Γνῶσιν, ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ' εἶναι.
Ὣς ἄρα φωνήσαντε, καθ' ἵππων ἀΐξαντε,
Χεῖράς τ' ἀλλήλων λαβέτην, καὶ πιστώσαντο·
Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεὺς,
Ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε, 235
Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.

* * *

ἙΚΤΩΡ καὶ ΑΝΔΡΟΜΑΧΗ.

. . . . . Ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ 390
Τὴν αὐτὴν ὁδὸν αὖτις, ἐϋκτιμένας κατ' ἀγυιάς.

---

218. ξεινήϊα, Ion. for ξενία.

219. δίδου for ἐδίδου, contr. for ἐδίδοε, imperf. of διδόω, in use δίδωμι.

222. μέμνημαι, *memini.*

223. κάλλιφ' for κατέλιπε. *Vide* above, v. 201.

224. τῷ, "on this account." *Vide* above, p. 97. n. 4.

225. ὅτε κεν τῶν (Λυκίων) δῆμον ἵκωμαι, when "I may have come to the nation of the Lycians."

226. δι' ὁμίλου, "through the crowd."

228. κε, Poet. for ἂν; *vide* above, p. 56. n. 2. — κιχείω, Poet. for κιχέω.

232. καθ' ἵππων. *Vide* above, v. 128.

234. Γλαύκῳ — φρένας ἐξέλετο, "took away prudence from Glaucus."

236. χαλκείων. Sup. ἀντί. *Vide* above, p. 65. n. 6.

390. ἀπέσσυτο, plup. pass. of ἀποσύομαι, "I rush forth."

Εὖτε πύλας ἵκανε, διερχόμενος μέγα ἄστυ,
Σκαιὰς, τῇ γὰρ ἔμελλε διεξίεναι πεδίονδε,
Ἔνθ' ἄλοχος πολύδωρος ἐναντία ἦλθε θέουσα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος· 395
Ἠετίων, ὅς ἔναιεν Ὑποπλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
Τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ·
Ἣ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ,
Παῖδ' ἐπὶ κόλπον ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως, 400
Ἕκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ·
Τὸν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
Ἤτοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δακρυχέουσα, 405
Ἓν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε·
Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
Παῖδά τε νηπίαχον, καὶ ἔμ' ἄμμορον, ἣ τάχα χήρη
Σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ,
Πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη 410
Σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
Ἔσται θαλπωρὴ, ἐπεὶ ἂν σύγε πότμον ἐπίσπῃς,
Ἀλλ' ἄχε'· οὐδέ μοι ἐστὶ πατὴρ καὶ πότνια μήτης·
Ἤτοι γὰρ πατέρ' ἀμὸν ἀπέκτανε δῖος Ἀχιλλεὺς,
Ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάωσαν, 415

392, 393. πύλας — Σκαιὰς, "the Scean gates" — τῇ "by this way."

397. Κιλίκεσσ' ἄνδρεσσιν, dat. pl. of Κιλιξ, ἀνὴρ. *Vide* above, Anac. Ode III. v. 20.

398. τοῦ, "of this man" — ἔχεθ' Ἕκτορι, "was possessed by Hector."

399. ἅμα — αὐτῇ, "along with her."

400. νήπιον αὔτως, "so much an infant (as to require to be still carried in the arms)."

406. ἓν τ' ἄρα οἱ φῦ (for ἔφυ) χειρὶ, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε (by *tmesis* for τε ἐξονόμαζε), "and she clung to his hand (*lit.* grew into his hand) and spoke," &c.

409. κατακτανέουσιν for κατακτανοῦσιν. *Vide* above, p. 38. v. 14.

414. ἀμὸν, Dor. for ἐμόν.

415. ἐκ — πέρσεν, (by *tmesis* for ἐξεπέρσεν), "destroyed quite;" — εὖ

Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
Οὐδέ μιν ἐξενάριξε· σεβάσσατο γὰρ τόγε θυμῷ·
Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν,
Ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
Νύμφαι Ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο. 420
Οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
Οἱ μὲν πάντες ἰῷ κίον ἤματι εἴδος εἴσω·
Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
Βουσὶν ἐπ' εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσι.
Μητέρα δ', ἣ βασίλευεν Ὑποπλάκῳ ὑληέσσῃ, 425
Τὴν ἐπεὶ ἄρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
Ἂψ ὅγε τὴν ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα·
Πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης. 430
Ἀλλ' ἄγε νῦν ἐλέαιρε, καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα·
Λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα
Ἄμβατός ἐστι πόλις, καὶ ἐπίδρομον ἔπλετο τεῖχος·
Τρὶς γὰρ τῇγ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι, 435
Ἀμφ' Αἴαντε δύω, καὶ ἀγακλυτὸν Ἰδομενῆα,
Ἠδ' ἀμφ' Ἀτρείδας, καὶ Τυδέος ἄλκιμον υἱόν·
Ἤπου τις σφὶν ἔνισπε θεοπροπίων εὖ εἰδὼς,
Ἦ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.

ναιετάωσαν (for ναιετάουσαν), "well inhabited," act. for pass.

416. κατὰ δ' ἔκτανεν, by *tmesis* for δὲ κατέκτανεν.

418. κατέκηε, 1 a. from κατακαίω.

419. ἐπὶ — ἔχεεν, by *tmesis*, "raised (*lit.* poured) over him."

421, 422. οἳ — οἱ, *qui* — *hi*; ἔσαν for ἦσαν — ἄϊδος εἴσω, "within Hades."

424. ἐπ', "at," — ἀργεννῇς (for ἀργεννῇσι) ὀΐεσσι. *Vide* above, Anac. Ode III. v. 20.

431. αὐτοῦ μίμν' ἐπὶ πύργῳ, "remain there at the tower."

432. θείης. *Vide* above, v. 139.

434. ἐπίδρομον ἔπλετο (by sync. for ἐπέλετο) τεῖχος, "the wall is (*lit.* was) easy of access."

435. ἐπειρήσανθ', for ἐπειρήσαντο, from πειράω.

436. ἀμφ' for ἀμφί, "about."

Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ· 440
Ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
Αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους,
Αἴκε, κακὸς ὥς, νόσφιν ἀλυσκάζω πολέμοιο·
Οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
Αἰεὶ, καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι, 445
Ἀρνύμενος πατρός τε μέγα κλέος, ἠδ' ἐμὸν αὐτοῦ.
Εὖ μὲν γὰρ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
Ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω, 450
Οὔτ' αὐτῆς Ἑκάβης, οὔτε Πριάμοιο ἄνακτος,
Οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
Ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
Ὅσσον σεῖ', ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
Δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας· 455
Καί κεν ἐν Ἄργει ἐοῦσα, πρὸς ἄλλης ἱστὸν ὑφαίνοις·
Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος, ἢ Ὑπερείης,
Πόλλ' ἀεκαζομένη· κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
Καί ποτέ τις εἴπῃσιν, ἰδὼν κατὰ δάκρυ χέουσαν,
Ἕκτορος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι 460
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.
Ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
Χήτεϊ τοιοῦδ' ἀνδρὸς, ἀμύνειν δούλιον ἦμαρ.

---

444. μάθον for ἔμαθον (*vide* above, v. 133.), 2 aor. of μανθάνω.

446. ἐμὸν αὐτοῦ, "of myself." Possessive pronouns are frequently construed like the genitive of their primitive personal, to which gen. they are equivalent. Thus, ἐμὸν is here construed like ἐμοῦ.

447. κατὰ, "in." *Vide* κατά.

449. ἐϋμμελίω for εὐμελίου. *Vide* εὐμελίης.

454. σεῖ' for σεῖο, Ion. for σοῦ.

455. ἀπούρας, Æol. by sync. for ἀπουρίσας, from ἀπουρίζω, for ἀφορίζω, "I part from."

456. πρὸς ἄλλης, "for another." *Vide* πρός.

458. πόλλ' ἀεκαζομένη, "much against your will." *Vide* above, Anac. Ode I. v. 10.

459. εἴπῃσιν, Æol. for εἴπῃ, 2 aor. subj. of ἔπω; — κατὰ — χέουσαν, by *tmesis*.

462. ἐρέει for ἐρεῖ (*vide* above, p. 38. v. 14.), 2 fut. of ἐρέω.

Ἀλλά με τεθνειῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
Πρίν γ' ἔτι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι. 465
Ὣς εἰπὼν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
Ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθεὶς,
Ταρβήσας χαλκόν τε, ἰδὲ λόφον ἱππιοχαίτην,
Δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας· 470
Ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος, καὶ πότνια μήτηρ.
Αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ,
Καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν.
Αὐτὰρ ὅγ' ὃν φίλον υἱὸν ἐπεὶ κύσε, πῆλέ τε χερσὶν,
Εἶπεν ἐπευξάμενος Διΐ τ', ἄλλοισίν τε θεοῖσι· 475
Ζεῦ, ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
Παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
Ὧδε βίην τ' ἀγαθὸν, καὶ Ἰλίου ἶφι ἀνάσσειν,
Καί ποτέ τις εἴπῃσι, Πατρὸς δ' ὅγε πολλὸν ἀμείνων,
Ἐκ πολέμου ἀνιόντα· φέροι δ' ἔναρα βροτόεντα, 480
Κτείνας δῆϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
Ὣς εἰπὼν, ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
Παῖδ' ἑόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ,
Δακρυόεν γελάσασα· πόσις δ' ἐλέησε νοήσας.
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε· 485
Δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
Οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνήρ ἄϊδι προϊάψει.
Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,

---

464. τεθνειῶτα for τεθνακότα, part. perf. act. of θνήσκω; — κατὰ— καλύπτοι (by *tmesis*), "may it quite cover." *Vide* above, p. 60. n. 7.

466. ὀρέξατο. *Vide* above, p. 36. v. 12.

468. ὄψιν ἀτυχθεὶς, "startled at the face."

470. δεινὸν — νεύοντα, "nodding awfully." *Vide* above, Anac. Ode I. v. 10.

471. ἐκ ἐγέλασσε (by *tmesis* for ἐξεγέλασσε), "laughed out."

474. πῆλε for ἐπῆλε, 1 aor. of πάλλω, "I shake."

480. ἀνιόντα (sup. κατὰ), "with regard to him returning."

484. δακρυόεν γελάσασα, "tearfully smiling."

488. πεφυγμένον ἔμμεναι, "has escaped." *Vide* above, p. 54. n. 1.

Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν ταπρῶτα γένηται.
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε, 490
Ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
Ὣς ἄρα φωνήσας κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ
Ἵππουριν· ἄλοχος δὲ φίλη οἴκόνδε βεβήκει· 495
Ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα·
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο· κιχήσατο δ' ἔνδοθι πολλὰς
Ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν·
Αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ· 500
Οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
Ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

---

493. τοὶ, Dor. for οἱ, *qui*.

